† Ἰσαάκιος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Ἄγγελος †.

## IV. (6700—1192) mense aprili ind. X.

*Imperator Isaacius Angelus legatos mittit ad communitatem Ianuae, iureiurando confirmaturos foedera facta.*

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

† Ἰσαάκιος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς θεοστεφής, ἄναξ κραταιός, ὑψηλὸς καὶ ἀεὶ αὔγουστος καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Ἄγγελος, τῷ συνετωτάτῳ ἐξουσιαστῇ τοῦ κάστρου Γενούας καὶ τοῖς φρονιμωτάτοις καὶ πιστοτάτοις τῇ βασιλείᾳ μου κουνσούλοις καὶ συμβούλοις τοῦ αὐτοῦ κάστρου καὶ παντὶ τῷ τε Γενούας πληρώματι τὴν χάριν αὐτοῦ καὶ τὸ ἀγαθὸν θέλημα. οἱ συνετώτατοι ἀποκρισιάριος ὑμῶν, ὅ τε Γιλίελμος Τορνέλος καὶ ὁ Γίδος Σπίνουλας, καταλαβόντες πρὸς τὴν βασιλείαν μου καὶ ἐνώπιον αὐτῆς στάντες τὸ τῆς ὑμετέρας φρονήσεως γράμμα τῇ βασιλείᾳ μου ἀνεκόμισαν, δι' οὗ καὶ πληροφορηθεῖσα ἡ βασιλεία μου ἐνδεδομένον ἔχειν αὐτοὺς ἐξ ὑμῶν τὸ τρακταῖσαι μετὰ τῆς αὐλῆς τῆς βασιλείας μου περὶ τῶν θελητέων ὑμῖν καὶ κατὰ τὰ ἀρέσαντα τῇ βασιλείᾳ μου καὶ αὐτοῖς ποιῆσαι, εὐμενῶς τε αὐτοὺς παρεδέξατο καὶ περὶ ὧν ἐζήτουν τρακταῖσαι διωρίσατο, καὶ πολλὴν τὴν σπουδὴν ὑπὲρ τοῦ κάστρου ὑμῶν εἰσαγαγόντες καὶ ἐπὶ τῷ ὑπὲρ τῶν θελητέων ὑμῖν τρακταϊσμῷ πολλὰ κοπιάσαντες ἴσχυσαν κατὰ τὸ ἀρέσκον αὐτοῖς τὴν τῆς βασιλείας μου εὐμένειαν καὶ φιλοτησίαν τῷ κάστρῳ ὑμῶν προξενῆσαι, καὶ τὰ συναρέσαντα διαλαβόντες ἐγγράφῳ λατινικοῖς γράμμασι γνωστοῖς αὐτοῖς γραφέντι καὶ οἰκειοχείρως παρ' αὐτῶν ὑπογραφέντι καὶ ταῖς συνήθεσι βούλλαις αὐτῶν ὑποσημανθέντι καὶ ὅρκῳ αὐτῶν σωματικῷ βεβαιωθέντι χρυσόβουλλον λόγον τῆς βασιλείας μου ἐκομίσαντο ἐπὶ πᾶσι τοῖς τῇ βασιλείᾳ μου καὶ αὐτοῖς συναρέσασιν, καὶ ἀπεστάλη ὑμῖν μετὰ τῶν παρόντων ἀποκρισιαρίων τῆς βασιλείας μου, τοῦ τε γραμματικοῦ τῆς βασιλείας μου Νικηφόρου τοῦ Πεπαγωμένου καὶ τοῦ διερμηνευτοῦ Γηράρδου τοῦ Ἀλαμανοπούλου, καὶ ἔξεστιν ὑμῖν τὰ συμφωνηθέντα παρ' αὐτῶν ὅρκοις κατὰ τὸ σύνηθες βεβαιωσαμένοις καὶ ἐγγράφῳ τοὺς τοιούτους ὑμῶν ὅρκους διαλαβοῦσι καὶ διὰ τῶν τοιούτων ἀποκρισιαρίων τῆς βασιλείας μου πρὸς τὴν βασιλείαν μου ἀναπέμψασι καὶ

ΒΙΒΛ. ΕΣΠ. ΙΩΑΝΝΙΝΑ 2006

χρυσόβουλλον λόγον τῆς βασιλείας μου κομίσασθαι ὡς ἐκ τῆς χειρὸς τῆς βασιλείας μου ἐκ τῆς χειρὸς αὐτῶν καὶ οὕτως αἰωνίαν τῇ χώρᾳ ὑμῶν τὴν ἐκ τῆς βασιλείας μου καὶ τῶν κληρονόμων καὶ διαδόχων αὐτῆς καὶ τῆς Ῥωμανίας ἀγάπην περιποιήσασθαι. ἵνα δὲ μὴ καὶ ἀμφιβάλλον ἴσως ἐπί τισι τῶν συμφωνηθέντων ὑμῖν γένοιτο, δυσὶν ἰσοτύποις ἐγγράφοις τὰ συμφωνηθέντα παρ' αὐτῶν διαληφθῆναι ἡ βασιλεία μου ᾠκονόμησε καὶ ταῖς ὑπογραφαῖς αὐτῶν καὶ ταῖς συνήθεσι σφραγῖσι βεβαιωθῆναι καὶ τὸ μὲν ἓν τούτων τοῖς τοῦ λογοθέτου τοῦ δρόμου χαρτίοις τῆς βασιλείας μου ἐναποτεθῆναι, τὸ δὲ ἕτερον ἀποκομισθῆναι ὑμῖν παρὰ τῶν ἀποκρισιαρίων τῆς βασιλείας μου εἰς πληροφορίαν καὶ πίστωσιν τοῦ κατὰ ἀρέσκειαν καὶ συναίνεσιν καὶ θέλησιν τῶν ἀποκρισιαρίων ὑμῶν τὰ τούτοις ἐμπεριεχόμενα συμφωνηθῆναι †.

† **Μηνὶ ἀπριλλίῳ ἰνδικτιῶνος ι' †.**

**Βασιλικὸν εἰς τὸν συνετώτατον ἐξουσιαστὴν τοῦ κάστρου Γενούας καὶ τοὺς φρονιμωτάτους καὶ πιστοτάτους τῇ βασιλείᾳ μου κονσούλους καὶ συμβούλους καὶ πᾶν τὸ πλήρωμα αὐτῶν.**

*Orig. charta bomb. tabull. Taurinensis.*

## V. 6700 (1192) mense aprili ind. X.

*Imperator Isaacius Angelus confirmat privilegia Ianuensibus concessa.*

† Συνέπεσε μὲν δὴ καὶ τῷ τῶν Γενουϊτῶν γένει, ὥσπερ καὶ παντὶ ἑτέρῳ γένει λατινικῷ φιλίως πρὸς τὴν Ῥωμανίαν διακειμένῳ καὶ πιστῶς αὐτῇ ἐκδουλεύοντι ἐν τῇ τοῦ τυράννου ἐκείνου Ἀνδρονίκου εἰς τὴν Μεγαλόπολιν ἐπει[σφρήσει] συνέπεσε, καὶ κακῶς καὶ ἐπιστομίως καὶ οὗτοι τῶν τῆς Ῥωμανίας ὁρίων ἀπέδρασαν, μαχαίρας ἔργον γινόμενοι καὶ σπάθης οὐκ ὀλίγους Ῥωμαίους πάρεργον καὶ αὐτοὶ ποιησάμενοι ἔν τε τῇ ἀπὸ τῆς Μεγαλοπόλεως ἀποδράσει αὐτῶν καὶ τῇ ἔκτοτε καὶ μέχρι τοῦ νῦν διαγωγῇ, καὶ ἦσαν οἱ χθές που καὶ πρότριτα προθύμως δουλεύοντες καὶ πίστιν εἰς τὴν Ῥωμανίαν τηροῦντες ἀθόλωτον εἰς ἐχθροὺς μεταταξάμενοι καὶ σφάττοντες [καὶ] σφαττόμενοι καὶ ζημιοῦντες καὶ ζημιούμενοι. ἀλλ' ἡ τοῦ κράτους ἡμῶν γαληνότης κατὰ τὴν τοῦ ἐκλεξαμένου καὶ χρίσαντος αὐτὴν κυρίου

Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἐντολὴν οὐ μόνον τὰ προσυνημωμένα καὶ κακῶς διαρραγέντα συνάπτε[σθαι ἐπιζη]τοῦσα, ἀλλὰ καὶ τὰ μηδέποτε ὑπὸ τὴν Ῥωμανίαν γεγονότα ἔθνη ὑπὸ ταύτην ποιεῖν εἰρηνικῶς σπεύδουσα συνήγαγέ τε καὶ τὸ τῶν Γενουϊτῶν ἔθνος τουτί, καὶ εἰς τὴν προτέραν μετὰ τῆς Ῥωμανίας ὁμόνοιαν καὶ δουλείαν ἐπ[αν]ήγαγε. καὶ ἐπεὶ κατέλαβον πρὸς τὴν βασιλείαν μου ἀποκρισιάριοι ἀπὸ τοῦ τοιούτου κάστρου τῆς Γενούας καὶ τῆς ὑπ' αὐτὸ πάσης χώρας, ὅ τε Γιλίελμος Τορνέλος καὶ ὁ Γίδος Σπίνουλας, ἐνδεδομένον ἔχοντες συμφωνῆσαι μετὰ τῆς βασιλείας μου καὶ τῆς Ῥωμανίας, ἃ δῆτα καὶ ἐνετάλθησαν, καὶ μέντοι μετὰ πολὺν τρακταϊσμὸν τῶν παρ' αὐτῶν ἀπὸ τῆς βασιλείας μου καὶ τῆς Ῥωμανίας ζητουμένων καὶ τῶν παρὰ τῆς βασιλείας μου καὶ τῆς Ῥωμανίας αὖθις ἀπὸ τοῦ κάστρου καὶ τῆς χώρας αὐτῶν κατήντησε καὶ συνηρέσθησαν εἰς τὰ δηλούμενα ἐν τῷ οἰκειοχείρως παρ' αὐτῶν ὑπογραφέντι ἐγγράφῳ τῷ καὶ σωματικῷ ὅρκῳ παρ' αὐτῶν βεβαιωθέντι καὶ οὕτως αὐτολεξεὶ ἔχοντι· ἡμεῖς οἱ ἀποκρισιάριοι τοῦ κάστρου καὶ τῆς χώρας Γενούας, ὅ τε Γιλίελμος Τορνέλος καὶ ὁ Γίδος Σπίνουλας, ἀποσταλέντες παρὰ τοῦ ἐξουσιαστοῦ τοῦ κάστρου Γενούας τοῦ Μανετόλδου δὲ Βρέσας καὶ τῶν κονσούλων καὶ συμβούλων καὶ τοῦ λοιποῦ πληρώματος τοῦ κάστρου καὶ τῆς χώρας Γενούας πρὸς τὸν κραταιὸν καὶ ἅγιον βασιλέα Ῥωμαίων καὶ ἀεὶ αὔγουστον, κῦρ Ἰσαάκιον τὸν Ἄγγελον, ἐφ' ᾧ κατὰ τὸ ἐντεταλμένον ἡμῖν τὰ συμφέροντα τῇ χώρᾳ ἡμῶν ἀπὸ τῆς ἁγίας αὐτοῦ βασιλείας ζητῆσαι καὶ τὴν προλαβοῦσαν ἕνωσιν καὶ δουλείαν τὴν πρὸς τὴν βασιλείαν Ῥωμαίων καὶ τὴν Ῥωμανίαν τὴν διὰ τῆς τοῦ τυράννου ἐκείνου Ἀνδρονίκου κακίας διακοπεῖσαν ἀνακαινίσαι καὶ τὰ καλῶς συναφθέντα, κακῶς δὲ διαρραγέντα ἐπισυνάψαι, καὶ καταλαβόντες εἰς τὴν Μεγαλόπολιν καὶ τῷ ἐνθέῳ ὕψει τοῦ ἁγιωτάτου κυρίου βασιλέως Ῥωμαίων καὶ ἀεὶ αὐγούστου κῦρ Ἰσαακίου τοῦ Ἀγγέλου ἐντυχόντες καὶ προσκυνήσαντες δουλικῶς καὶ τὴν ἀπὸ τοῦ ἐξουσιαστοῦ καὶ τοῦ κάστρου καὶ τῆς χώρας ἡμῶν πάσης γραφὴν τῇ ἁγίᾳ αὐτοῦ βασιλείᾳ ἀποκομίσαντες, δι' ἧς γραφῆς καὶ ἀνεδιδάχθη ἡ ἁγία αὐτοῦ βασιλεία, ὡς πᾶν, ὅπερ ἡμεῖς συμφωνήσομεν, δεκτὸν ἔσται τῷ τε ῥηθέντι ἐξουσιαστῇ Γενούας καὶ τοῖς κουνσούλοις καὶ συμβούλοις αὐτῆς καὶ πάσῃ τῇ χώρᾳ αὐτῆς, εἰς λόγους ἤχθημεν προστάξει τῆς ἁγίας αὐτοῦ βασιλείας περὶ τῶν παρ' ἡμῶν ζητουμένων παρὰ τῷ πανσεβάστῳ σεβα-

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

στῷ καὶ λογοθέτῃ τοῦ δρόμου κῦρ Δημητρίῳ τῷ Τορνίκῃ. καὶ πρῶτα μὲν ἐζητήσαμεν γενέσθαι τῇ χώρᾳ ἡμῶν τὰ διὰ τοῦ ἀποκρισιαρίου τῆς ἁγίας αὐτοῦ βασιλείας τοῦ Μεσοποταμίτου ἐκείνου Κωνσταντίνου συμφωνηθέντα· ὅτι δὲ εἰς τοῦτο οὐδόλως παρεδέχθημεν διὰ τὸ παραπρεσβείας ἐκεῖνον γραφῆναι καὶ διὰ τοῦτο καὶ τὸν σὺν ἐκείνῳ ἐλθόντα ἀποκρισιάριον τῆς χώρας ὑμῶν τὸν Συμεὼν Πουφέρην ἄπρακτον ὑποστρέψαι, δευτέρως ἐζητήσαμεν ἀποθεραπευθῆναι ἡμῖν τὰς ζημίας, ἃς ἐν τῷ καιρῷ τῆς εἰς τὴν Μεγαλόπολιν εἰσελεύσεως τοῦ δηλωθέντος τυράννου ἐκείνου Ἀνδρονίκου ὑπέστημεν καὶ αὐτὰ τὰ σώματα τῶν προστάξει ἐκείνου ἀποσφαγέντων συνεποίκων ἡμῶν, ἃς δὴ ζημίας καὶ συνεποσοῦμεν διὰ τοῦ δοθέντος παρ' ἡμῶν καταστίχου εἰς νομίσματα ὑπέρπυρα χιλιάδας διακοσίας εἰκοσιοκτώ. ἐζητοῦμεν δὲ καὶ σολέμνια χρόνων τριῶν παρελθόντων καὶ ἔμπροσθεν χρόνων δέκα, ἔστι γε μὴν καὶ τὰ μετὰ τὴν αὐτοκρατορίαν τοῦ αἰθριωτάτου καὶ ὑψηλοτάτου βασιλέως Ῥωμαίων καὶ ἀεὶ αὐγούστου κῦρ Ἰσαακίου τοῦ Ἀγγέλου ἀφαιρεθέντα ἀπὸ γενουϊτικῶν πλοίων παρά τε τοῦ θείου ἐκείνου τῆς ἁγίας αὐτοῦ βασιλείας τοῦ πρωτοπανεντιμοϋπερτάτου μεγάλου λογοθέτου καὶ τοῦ σεβαστοῦ ἐκείνου τοῦ Χούμνου καὶ τοῦ σήμερον ἐπὶ τοῦ βεστιαρίου τοῦ σεβαστοῦ κῦρ Μιχαὴλ τοῦ Στρυφνοῦ καὶ ἑτέρων ἀνθρώπων τῆς ἁγίας αὐτοῦ βασιλείας ἀφαιρεθέντα χάριν κομμερκίου ἢ ἄλλως πῶς, ἀλλὰ καὶ αὐτὰ δὴ τὰ ἀπὸ τοῦ πλοίου, δι' οὗ ἡμεῖς εἰς τὴν Μεγαλόπολιν κατ[ελάβομεν] ἀπαιτηθέντα κομμέρκια, περιστῆναι δὲ καὶ τὸ κομμέρκιον τῶν εἰς τὸ ἑξῆς ἐλευσομένων εἰς τὴν Μεγαλόπολιν γενουϊτικῶν πλοίων πρὸς δύο εἰς τὰ ἑκατόν, προστεθῆναί τε καὶ τῇ παραλίῳ σκάλᾳ ἡμῶν καὶ ἑτέραν παράλιον [σκάλαν], ἀλλὰ δὴ καὶ τῷ ἐμβόλῳ ἔμβολον οὐκ ὀλίγον διὰ ὀσπητίων καὶ κάμπου καὶ ἐπὶ τούτοις δωρηθῆναι ἡμῖν καὶ αὐτὸν τὸν οἶκον τοῦ Βοτονειάτου τὸν ἐν τῇ τοποθεσίᾳ τῶν Καλυβίων, αὐξηνθῆναι δὲ καὶ τὰ σολέμνια τῆς κοινότητος καὶ τοῦ ἀρχιεπισκόπου ἡμῶν. ἐπεὶ δὲ ὁ αὐτὸς βασιλικὸς λογοθέτης περὶ μὲν τῶν κατὰ καιρὸν τῆς τοῦ τυράννου ἐκείνου Ἀνδρονίκου εἰσελεύσεως ἐπιγεγονυιῶν ἡμῖν ζημιῶν οὐδὲ ἀπολογίαν ἡμῖν ποιῆσαι ἠνείχετο, ζητῶν ἀντιθεραπευθῆναι παρὰ τῆς χώρας ἡμῶν τῇ Ῥωμανίᾳ τὰς ζημίας, ἃς κατὰ τὸν αὐτὸν καιρὸν τῆς τοῦ δηλωθέντος τυράννου εἰσελεύσεως ἐν τῇ ἀπὸ τῆς Μεγαλοπόλεως διαδράσει τῶν γενουϊτικῶν πλοίων καὶ κατέργων ὑπέστη καὶ

τὰς ἔκτοτε καὶ μέχρι τοῦ νῦν παρὰ τῶν γενουϊτικῶν πλοίων καὶ κατέργων ἐπενεχθείσας ῥωμαϊκοῖς πλοίοις καὶ παραλίοις χώραις τῆς Ῥωμανίας, ἀνταπῄτει δὲ καὶ τὰ τῶν σφαγέντων Ῥωμαίων καὶ αὐτὸς σώματα, ὥσπερ ἡμεῖς τὰ τῶν Γενουϊτῶν, καὶ οὐδὲν πλέον τῆς παλαιᾶς ἡμῶν συμφωνίας γενέσθαι ἡμῖν κατένευσε διὰ τὸ καὶ εἴ τις ἐπηνέχθη ἡμῖν ζημία ἐν τῇ Ῥωμανίᾳ διάγουσιν ἀπὸ ἐπεισφρήσεως ἐχθροῦ κατὰ τῆς Ῥωμανίας ἐλθόντος, μὴ ὀφείλειν τὴν Ῥωμανίαν ἀντισηκοῦν ταύτην ἡμῖν, ἀλλ᾽ οὐδὲ τὰ τῶν παρελθόντων τριῶν χρόνων σολέμνια ὀφείλειν ἀποδοθῆναι ἡμῖν ἐδικαιολογεῖται διὰ τὸ μηδὲ ἡμᾶς τηνικαῦτα τὴν ὀφειλομένην δουλείαν τῇ Ῥωμανίᾳ ἀποδιδόναι, τέλος ἀπογνόντες ἐνώπιον τοῦ ὑψηλοτάτου καὶ αἰθριωτάτου Ῥωμαίων αὐτοκράτορος κυροῦ Ἰσαακίου τοῦ Ἀγγέλου στῆναι ᾐτησάμεθα, ἐφ᾽ ᾧ ἀποχαιρετίσαι καὶ ἄπρακτοι ἀπελθεῖν εἰς τὴν χώραν ἡμῶν. καὶ ἔστημεν ἐνώπιον τῆς ἁγίας αὐτοῦ βασιλείας αὐτὸ τοῦτο ποιήσοντες, ἀλλ᾽ ἡ τοῦ βασιλέως φιλανθρωπία καὶ τὸ πρὸς πάντας ἱλαρὸν καὶ εὐμενὲς τῇ ἐπὶ τῷ ἀποχαιρετισμῷ ἡμῶν ἡμετέρᾳ στυγνότητι καὶ τῇ περιπαθεῖ παρακλήσει παρακαμφθὲν τὰς πολλὰς τοῦ πανσεβάστου λογοθέτου ἐνστάσεις παραβλεψάμενον καὶ τῶν ἀγκαλῶν τῆς ἁγίας αὐτοῦ βασιλείας μὴ ἀπώσασθαι τὴν ἡμετέραν χώραν εὐδοκῆσαν, ἀμνηστίαν μὲν τῇ χώρᾳ ἡμῶν κατένευσε τῶν ζημιωμάτων, ὅσα πλοίοις ῥωμαϊκοῖς καὶ παραλίοις χώραις τῶν Ῥωμαίων ἀπὸ τοῦ μέρους τῆς Γενούας συνέβησαν, ἀμνημονῆσαι δὲ καὶ ἡμᾶς ἀπῄτησε τῶν ἀπ᾽ αὐτῆς τῆς εἰς τὴν Μεγαλόπολιν εἰσελεύσεως τοῦ τυράννου ἐκείνου Ἀνδρονίκου καὶ μέχρι καὶ τῆς ἐνώπιον τοῦ ἐνθέου κράτους αὐτοῦ παραστάσεως ἡμῶν ἐπελθουσῶν ἡμῖν ζημιῶν ὁπωσδήποτε παρά τινος τῶν ἀνθρώπων τῆς ἁγίας αὐτοῦ βασιλείας καὶ αὐτοῦ τοῦ δημοσίου. ἐπεφιλοτιμήσατο δὲ τῇ ἡμετέρᾳ χώρᾳ κατὰ τὸ ἄμετρον ἔλεος τῆς ἁγίας αὐτοῦ βασιλείας εἰς ἀντισήκωσιν τῶν πολλῶν ζημιῶν ἡμῶν ἐπέκεινα τοῦ προκατεχομένου παρ᾽ αὐτῆς ἐν τῇ Μεγαλοπόλει ἐμβόλου καὶ τῆς παραλίου σκάλας καὶ τὴν πλησιάζουσαν τῇ προτέρᾳ σκάλᾳ ἡμῶν ἑτέραν σκάλαν τῆς σεβασμίας μονῆς τοῦ Μανουήλ, ἀλλὰ δὴ καὶ τὴν ἐν τῇ τοποθεσίᾳ τῶν Καλυβίων οἶκον τοῦ Καλαμάνου ἤτοι τοῦ Βοτανειάτου καὶ τὰ ἐκτὸς τοῦ τοιούτου οἴκου πρὸς τὸ δυτικὸν μέρος ἄνωθεν τῆς τοῦ Ἀντηφωνητοῦ κινστέρνης ἐνοικικὰ τά τε σωζόμενα καὶ τὰ φθάσαντα καταπεσεῖν, ὥστε καὶ ταῦτα ἀνεγερθῆναι παρ᾽ αὐτῶν ἀβλαβῶς καὶ

ἀζημίως τῇ κινστέρνῃ, ἀντλεῖν τε καὶ ὕδωρ ἀπὸ τῆς κινστέρνης εἰς οἰκείαν χρῆσιν τοὺς ἐν τοῖς τοιούτοις ἐνοικικοῖς καταμένοντας, ἄνευ μέντοι λουτροῦ καὶ ποτοῦ ἀλόγων, καὶ τὰ συναπτόμενα ἑκατέρωθεν τῷ ἐμβόλῳ ἡμῶν ἐνοικικὰ τῆς τε μονῆς τοῦ ἀπὸ Λογοθετῶν καὶ τῆς μονῆς τοῦ Πατρικίου Θεοδοσίου, κατένευσε δὲ δοῦναι ἡμῖν καὶ μέντοι καὶ ἐπιδέδωκε τὰ ὑπὲρ τῶν παρελθόντων τριῶν χρόνων σολέμνια τῆς τε κοινότητος καὶ τοῦ ἀρχιεπισκόπου ἡμῶν, ἤγουν ὑπὲρ ἑκάστου χρόνου λόγῳ μὲν τῆς κοινότητος ὑπέρπυρα πεντακόσια καὶ βλαττία δύο, λόγῳ δὲ τοῦ ἀρχιεπισκόπου ὑπέρπυρα ἑξήκοντα καὶ βλαττίον ἓν καὶ ἔμπροσθεν ὑπὲρ χρόνου ἑνὸς πρὸς τῷ ἡμίσει σὺν τῇ γεγονυίᾳ παρὰ τῆς ἁγίας αὐτοῦ βασιλείας αὐξήσει τῶν ἑκατὸν ὑπερπύρων ἐπέκεινα τῶν τοιούτων πεντακοσίων ὑπερπύρων καὶ τῶν δύο βλαττίων καὶ τῶν ἑτέρων τεσσαράκοντα ὑπερπύρων τοῦ σολεμνίου τοῦ ἀρχιεπισκόπου ἐπέκεινα τῶν προτετυπωμένων ἑξήκοντα ὑπερπύρων καὶ τοῦ ἑνὸς βλαττίου. ἔτι διωρίσατο ἡ ἁγία αὐτοῦ βασιλεία ἀντιστραφῆναι ἡμῖν ὡς δῶρον αὐτῆς καὶ τὸ ἀφαιρεθὲν ἀπὸ τοῦ πλοίου, δι' οὗ ἡμεῖς εἰσήλθομεν εἰς τὴν Μεγαλόπολιν, κομμέρκιον ἐπέκεινα τῶν τεσσάρων εἰς τὰ ἑκατὸν καὶ εἰς τὸ ἑξῆς οὕτω κομμερκεύεσθαι τοὺς ἐποίκους τοῦ κάστρου καὶ τῆς χώρας ἡμῶν παρακελευσαμένη ἔν τε τῇ Μεγαλοπόλει καὶ ταῖς λοιπαῖς χώραις τῆς Ῥωμανίας, καθὼς τὰ περὶ τούτων πάντων πλατύτερον διαληφθήσεται ἐν τῷ γενησομένῳ ἡμῖν χρυσοβούλλῳ, ἐν ᾧ καὶ ἡ παροῦσα ἡμῶν ἔγγραφος καὶ ἐνυπόγραφος συμφωνία ἀναταχθῆναι μέλλοι. ὡς οὖν οὕτω ταῦτα ἡ ἁγία αὐτοῦ βασιλεία φιλανθρώπως τῇ ἡμετέρᾳ χώρᾳ ἀντιδοῦναι ἅμα καὶ ἐπιφιλοτιμήσασθαι ηὐδόκησεν, ἀσμένως καὶ ἡμεῖς τὴν τοιαύτην ἀντισήκωσιν τῶν ζημιῶν καὶ βασιλικὴν φιλοτιμίαν δεξάμενοι τὸ παρὸν ἔγγραφον ἐκτιθέμεθα ἑκουσίως καὶ αὐτοθελῶς καὶ δίχα βίας τινός, δι' οὗ καὶ παραδηλοῦμεν, ὅτι καὶ ἐξ ἐντολῆς ἐγγράφου τοῦ τε ἐξουσιαστοῦ καὶ τῶν συμβούλων τοῦ κάστρου καὶ τῆς χώρας ἡμῶν καὶ καταδοχῆς τοῦ λοιποῦ πληρώματος τῆς Γενούας κατὰ τὸ ἐνδοθὲν ἡμῖν παρ' αὐτῶν τὰς τοιαύτας βασιλικὰς φιλοτιμίας παραδεχόμεθα, καὶ ἀμνηστίαν πάσης ζημίας, ἔν τε τῇ ἐπεισφρήσει τοῦ τυράννου καὶ πρὸ τούτου καὶ μετὰ ταῦτα καὶ μέχρι καὶ νῦν τῇ χώρᾳ τῆς Γενούας ἀπὸ τοῦ μέρους τῆς Ῥωμανίας μερικῶς ἢ καθόλου γενομένης καθυπισχνούμεθα, καὶ δουλεύειν τὴν χώραν ἡμῶν τῷ κυρίῳ βασιλεῖ Ῥωμαίων

καὶ ἀεὶ αὐγούστῳ κῦρ Ἰσαακίῳ τῷ Ἀγγέλῳ καὶ πᾶσι τοῖς κληρονόμοις καὶ διαδόχοις αὐτοῦ καὶ αὐτῇ τῇ Ῥωμανίᾳ κατατιθέμεθα καὶ συμφωνοῦμεν κατὰ τὰς προβάσας συμφωνίας πρὸς τὸν ἀοίδιμον βασιλέα κῦρ Μανουὴλ καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτοῦ καὶ τὴν Ῥωμανίαν τὰς καὶ δι' ὅρκου πρῶτα μὲν τοῦ τότε ἀποκρισιαρίου Γενούας τοῦ Ἀμίκου δὲ Μούρτα ἐν τῇ βασιλικῇ αὐλῇ γεγονότος ὀμοθείσας, ἔπειτα δὲ καὶ παρὰ τοῦ κάστρου καὶ τῆς χώρας ἡμῶν ἐνωμότως κυρωθείσας, ἃς καὶ ὁ ἀοίδιμος βασιλεὺς κῦρ Μανουὴλ παρεδέξατο καὶ χρυσόβουλλον λόγον τῆς ἁγίας ἐκείνου βασιλείας ἐπὶ ταύταις ἐβράβευσεν, ὡς καὶ τῆς χώρας ἡμῶν ἀπολαύειν ὀφειλούσης τῆς ἐξκουσσείας, ἧς ἀπολαύειν ἐτύχομεν διὰ τοῦ ἐπὶ ταῖς τοιαύταις συμφωνίαις γεγονότος χρυσοβούλλου τῆς ἁγίας ἐκείνου βασιλείας, ὃς δὴ χρυσόβουλλος λόγος σὺν τῷ ὅρκῳ τοῦ Ἀμίκου καὶ ἐν τῷ γενησομένῳ ἡμῖν χρυσοβούλλῳ καταστρωθῆναι ὀφείλει καὶ ἐν κατοχῇ καὶ νομῇ εἶναι οὐ μόνον τῶν προκατεχομένων παρ' ἡμῶν, ἀλλὰ καὶ τῶν σήμερον ἐπιφιλοτιμηθέντων ἡμῖν καὶ τῆς τῶν σολεμνίων δόσεως τῶν τε προτετυπωμένων παρὰ τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου βασιλέως κῦρ Μανουὴλ καὶ τῶν σήμερον ἐπαυξηθέντων παρὰ τοῦ ἐνθέου κράτους αὐτοῦ διὰ τοῦ γενησομένου τῇ χώρᾳ ἡμῶν παρὰ τῆς ἁγίας αὐτοῦ βασιλείας χρυσοβούλλου. καὶ ἐπὶ πᾶσι τούτοις ἀρεσκόμενοι τὸ παρὸν ἐκτιθέμεθα ἔγγραφον καὶ ὅρκῳ μέλλοντες τοῦτο βεβαιῶσαι καὶ ταῖς οἰκειοχείροις ἡμετέραις ὑπογραφαῖς καὶ ταῖς συνήθεσι βούλλαις ἡμῶν ὡς κατὰ ἐντολὴν τοῦ ἐξουσιαστοῦ τῆς Γενούας καὶ τῶν συμβούλων καὶ καταδοχὴν τοῦ λοιποῦ πληρώματος τοῦ κάστρου καὶ τῆς χώρας ἡμῶν συμφωνοῦντες καὶ πράττοντες. ἔχει δὲ καὶ ὁ ὅρκος ἡμῶν, ὃν ἐπομόσασθαι μέλλομεν, οὕτως· ἡμεῖς οἱ ἀποκρισιάριοι τοῦ κάστρου καὶ τῆς χώρας Γενούας, ὅ τε Γιλίελμος Τορνέλος καὶ ὁ Γίδος Σπίνουλας, σταλέντες πρὸς τὸν ὑψηλότατον αὐτοκράτορα Ῥωμαίων καὶ ἀεὶ αὔγουστον κῦρ Ἰσαάκιον τὸν Ἄγγελον παρὰ τοῦ ἐξουσιαστοῦ καὶ τῶν κονσούλων καὶ συμβούλων ἀπὸ κοινῆς βουλῆς καὶ τοῦ κάστρου τῆς Γενούας μετὰ πολὺν τρακταϊσμὸν ἀποστάντες ὧν ἐζητοῦμεν κατ' ἐπιτροπὴν τοῦ ῥηθέντος ἐξουσιαστοῦ καὶ τῆς κοινῆς βουλῆς τοῦ κάστρου ὑπὲρ τοῦ κοινοῦ τῶν ἐν τῷ ἐγγράφῳ τῷ παρ' ἡμῶν γεγονότι καὶ ὑπογραφέντι περιεχομένων, ὡς τὴν ὑπὲρ τούτων ἀντισήκωσιν ἀρέσκουσαν ἡμῖν λαβόντες, καθ' ὃ εἴχομεν ἐνδόσιμον περὶ τῆς ἀρεσκείας

ἡμῶν ἀπὸ τοῦ ἐξουσιαστοῦ καὶ τῆς τοῦ κάστρου βουλῆς, ὀμνύομεν εἰς τὰ ἅγια τοῦ θεοῦ εὐαγγέλια καὶ εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν, ὡς ὁ ῥηθεὶς ἐξουσιαστής, κοινῆς βουλῆς τοῦ κάστρου περὶ τούτου γενομένης, ἐνέδωκεν ἡμῖν ὀμόσαι ἐπάνω τῆς ψυχῆς αὐτοῦ τὴν παρὰ τοῦ κάστρου καὶ τῆς χώρας Γενούας γενομένην συμφωνίαν διὰ τοῦ τότε ἀποκρισιαρίου τῆς Γενούας τοῦ Ἀμίκου δὲ Μούρτα πρὸς τὸν ἀοίδιμον βασιλέα κῦρ Μανουὴλ καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτοῦ καὶ τὴν Ῥωμανίαν πρὸς αὐτοκράτορα Ῥωμαίων καὶ ἀεὶ αὔγουστον κῦρ Ἰσαάκιον τὸν Ἄγγελον, καθὼς καὶ πρὸς ἐκεῖνον ὠμόθη, καὶ ὅτι ἃ ὑπὲρ τοῦ κοινοῦ ἐζητοῦμεν τὰ καὶ ἐν τῷ ἐγγράφῳ τῷ παρ' ἡμῶν ὑπογραφέντι περιεχόμενα, ἐξ ἐνδοσίμου τοῦ αὐτοῦ ἐξουσιαστοῦ καὶ τῆς βουλῆς τοῦ αὐτοῦ κάστρου εἰάσαμεν διὰ τὴν ἀντισήκωσιν τὴν πρὸς τὸ κοινὸν γενομένην. αὖθις ὀμνύομεν ἐπάνω τῆς ψυχῆς τοῦ ῥηθέντος ἐξουσιαστοῦ, ὡς ἵνα τὴν δηλωθεῖσαν συμφωνίαν καὶ ὁ ἐξουσιαστὴς καὶ οἱ κόνσουλοι καὶ οἱ σύμβουλοι καὶ αἱ κεφαλαὶ καὶ αὐτὸ τὸ κοινὸν τοῦ κάστρου καὶ τῆς χώρας ἡμῶν ὀμόσωσι, πληρώσωσι καὶ φυλάξωσι πρὸς τὸν κύριον βασιλέα Ῥωμαίων καὶ ἀεὶ αὔγουστον κῦρ Ἰσαάκιον τὸν Ἄγγελον καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτοῦ καὶ πρὸς αὐτὴν τὴν Ῥωμανίαν εἰς τοὺς αἰῶνας χωρὶς δόλου καὶ περινοίας, καὶ ὡς ταῦτα ὀμνύομεν μετὰ ἀληθοῦς πίστεως χωρὶς δόλου καὶ περινοίας, οὕτως ἵνα βοηθῇ ὁ θεὸς ἡμῖν καὶ τῷ ἐξουσιαστῇ καὶ τοῖς κονσούλοις καὶ συμβούλοις καὶ ταῖς κεφαλαῖς καὶ αὐτῷ τῷ κοινῷ Γενούας καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι.

Παρεδέξατό τε τούτους ἡ βασιλεία μου καὶ τὸν παρόντα χρυσόβουλλον λ ό γ ο ν αὐτοῖς ἐπεβράβευσε, δι' οὗ καὶ τῷ κάστρῳ καὶ τῇ χώρᾳ Γενούας πληροῦντι τὰ ἐν τῷ τοιούτῳ ἐγγράφῳ τῶν διαληφθέντων ἀποκρισιαρίων αὐτῶν διαληφθέντα δωρεῖται τήν τε προκατεχομένην παρ' αὐτῶν παράλιον σκάλαν καὶ τὸν ἔμβολον καὶ τὴν πλησιάζουσαν τῇ προτέρᾳ αὐτῶν σκάλᾳ ἑτέραν σκάλαν τὴν τῇ σεβασμίᾳ μονῇ τῇ ἐπ' ὀνόματι τοῦ ἁγίου Παντελεήμονος παρὰ τοῦ Μανουὴλ ἐκείνου ἀνεγερθείσῃ διαφέρουσαν, ἀλλὰ δὴ καὶ τὰ ἑκατέρωθεν τοῦ παλαιοῦ ἐμβόλου αὐτῶν συναπτόμενα οἰκήματα, ἤγουν τὰ τῆς μονῆς τοῦ ἀπὸ Λογοθετῶν καὶ τῆς μονῆς τοῦ Πατρικίου Θεοδοσίου. ἐπέκεινα δὲ τούτων δωρεῖται τούτοις ἡ βασιλεία μου καὶ τὸν ἐν τῇ τοποθεσίᾳ τῶν Καλυβίων διακείμενον οἶκον τοῦ Καλαμάνου ἤτοι τοῦ Βοτανειάτου

μετὰ τῶν ἐμπερικλειομένων τῷ περιτειχίσματι τούτου οἰκημάτων τῆς κινστέρνης καὶ τῶν δύο αὐλῶν καὶ αὐτῶν τῶν ἐν τῷ οἴκῳ ἐκκλησιῶν καὶ τοῦ λουτροῦ, ἀλλὰ δὴ καὶ τῶν ἐκτὸς τοῦ περιτειχίσματος τοῦ τοιούτου οἴκου πρὸς τὸ δυτικὸν μέρος ἄνωθεν τῆς κινστέρνης τῆς τῷ Ἀντιφωνητῷ διαφερούσης ἐνοικικῶν τῶν τε σωζομένων καὶ τῶν φθασάντων καταπεσεῖν, ὥστε καὶ ταῦτα ἀνεγερθῆναι παρ' αὐτῶν ἀβλαβῶς καὶ ἀζημίως τῇ κινστέρνῃ, ἀντλεῖν τε καὶ ὕδωρ ἀπὸ τῆς κινστέρνης εἰς οἰκείαν χρῆσιν τοὺς ἐν τοῖς τοιούτοις ἐνοικικοῖς καταμένοντας, ἄνευ μέντοι λουτροῦ καὶ ποτοῦ ἀλόγων. τοποῖ δὲ λαμβάνειν τὴν κοινότητα Γενούας καὶ τὸν ἀρχιεπίσκοπον τὰ προτετυπωμένα αὐτοῖς σολέμνια, ἤγουν τὴν μὲν κοινότητα ἐτησίως ὑπέρπυρα πεντακόσια καὶ βλαττία δύο, τὸν δὲ ἀρχιεπίσκοπον ὑπέρπυρα ἑξήκοντα καὶ βλαττίον ἕν, καὶ ἐπέκεινα τούτων τὴν μὲν κοινότητα ἐτησίως ἕτερα ὑπέρπυρα ἑκατόν, τὸν δὲ ἀρχιεπίσκοπον ἕτερα ὑπέρπυρα τεσσαράκοντα, ἃ καὶ ἐδόθησαν αὐτοῖς κατὰ τὸ παρόν, τὰ μὲν προτετυπωμένα ὑπὲρ χρόνων παρελθόντων τριῶν, αὐτὰ δε αὖθις σὺν τῇ αὐξήσει ὑπὲρ χρόνου ἑνὸς πρὸς τῷ ἡμίσει ψηφιζομένου ἀπ' ἀρχῆς τοῦ παρόντος ἀπριλλίου μηνός, καὶ ἔσονται ταῦτα πάντα κατεχόμενα παρὰ τοῦ κάστρου καὶ τῆς χώρας Γενούας κατὰ τὴν περίληψιν τοῦ γενησομένου πρακτικοῦ τῆς τούτων παραδόσεως παρὰ τοῦ γραμματικοῦ τῆς βασιλείας μου Κωνσταντίνου τοῦ Πεδιαδίτου καὶ τοῦ μεγαλεπιφανεστάτου πρωτονοταρίου Σεργίου τοῦ Κολυβᾶ καὶ τοῦ δεσιμωτάτου Κωνσταντίνου τοῦ Πετριώτου, πιστωθῆναι ὀφείλοντος καὶ δι' ὑπογραφῆς τοῦ πανσεβάστου σεβαστοῦ οἰκείου τῆς βασιλείας μου καὶ λογοθέτου τοῦ δρόμου, κῦρ Δημητρίου τοῦ Τορνίκη, ἀπὸ τοῦ νῦν καὶ εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους καὶ μέχρις ἂν τὸ τοιοῦτον κάστρον καὶ ἡ ὑπ' αὐτὸ πᾶσα χώρα καὶ οἱ ἔποικοι ταύτης τὴν πρὸς τὴν βασιλείαν μου καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς καὶ τὴν Ῥωμανίαν πίστιν ἀμετάπτωτον καὶ ἀπαράβατον τηρῶσι κατὰ τὰς προβάσας παρ' αὐτῶν συμφωνίας πρὸς τὸν ἐν βασιλεῦσιν ἀοίδιμον περιπόθητον θεῖον τῆς βασιλείας μου, κῦρ Μανουὴλ τὸν Κομνηνόν, καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτοῦ καὶ τὴν Ῥωμανίαν, τὰς καὶ δι' ὅρκου πρῶτα μὲν τοῦ τότε ἀποκρισιαρίου Γενούας τοῦ Ἀμίκου δὲ Μούρτα ἐν τῇ βασιλικῇ αὐλῇ γεγονότος ὀμοθείσας, ἔπειτα δὲ καὶ παρὰ τοῦ κάστρου καὶ τῆς χώρας Γενούας παραδεχθείσας καὶ ὅρκῳ

κυρωθείσας, ποιῶσι δὲ καὶ τὸν ἀνακαινισμὸν τοῦ πρὸς τὴν βασιλείαν Ῥωμαίων καὶ τὴν Ῥωμανίαν ὅρκου ἐτησίως κατὰ τὸ εἰωθὸς, ἀπολαύσουσι δὲ οἱ Γενουῖται καὶ τῆς τοῦ κομμερκίου ἐξκουσσείας κατὰ τὸ γεγονὸς αὐτοῖς χρυσόβουλλον παρὰ τοῦ ἀοιδίμου βασιλέως καὶ περιποθήτου θείου τῆς βασιλείας μου, κυροῦ Μανουήλ, εἰς τὰ ἑκατὸν τέσσαρα καταβάλλοντες ἐντὸς καὶ ἐκτὸς τῆς Μεγαλοπόλεως· διὰ γὰρ τοῦτο ἡ βασιλεία μου καὶ ἀντιστραφῆναι αὐτοῖς διωρίσατο τὸ ἀπὸ τοῦ πλοίου, δι᾽ οὗ οἱ ἀποκρισιάριοι τοῦ τοιούτου κάστρου πρὸς τὴν βασιλείαν μου κατέλαβον, ἀφαιρεθὲν κομμέρκιον ἐπέκεινα τῶν τεσσάρων εἰς τὰ ἑκατόν. καὶ παύσεται οὐδέποτε ἡ τῶν τοιούτων σολεμνίων δόσις, ἀλλ᾽ οὐδὲ ἡ κατοχὴ καὶ νομὴ τῶν ἀναγεγραμμένων παραλίων σκαλῶν καὶ τῶν οἰκημάτων καὶ τοῦ ἐμβόλου καὶ αὐτοῦ τοῦ οἴκου τοῦ Βοτανειάτου ἀφαιρεθήσονται ἐξ αὐτῶν, ὡς τῆς βασιλείας μου κατὰ τὴν δοθεῖσαν αὐτῇ ἔννομον ἐξουσίαν ἀφαιρουμένης τὰ τοιαῦτα πάντα ἀπὸ τῶν κατεχόντων αὐτὰ καὶ δωρουμένης τῷ κοινῷ τῆς Γενούας διὰ τὸ συμφέρον καὶ χρήσιμον τῇ Ῥωμανίᾳ. κερδανοῦσι δὲ οἱ Γενουῖται καὶ πᾶσαν τὴν ἐξ αὐτῶν εἴσοδον τήν τε νῦν οὖσαν καὶ τὴν ἐσομένην ἐξ ἐπιπονήσεων αὐτῶν ἐντὸς τῶν παρὰ τῶν παραδεδομένων αὐτοῖς συνόρων γενομένων, μέχρις ἂν τὴν πρὸς τὴν βασιλείαν μου καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς καὶ πρὸς αὐτὴν τὴν Ῥωμανίαν συντηρῇ πίστιν καὶ δουλείαν τὸ κάστρον καὶ ἡ χώρα τῆς Γενούας καὶ αὐτὸ τὸ κοινὸν αὐτῆς ἀπαράθραυστον καὶ ἀκολόβωτον κατὰ τὴν παρὰ τῶν ἀναγεγραμμένων ἀποκρισιαρίων αὐτῶν γεγονυῖαν ἔγγραφον συμφωνίαν τὴν καὶ ἀνωτέρω ἀναταχθεῖσαν, τῶν ἀφαιρεθέντων ταῦτα τὸ ἱκανὸν σχεῖν μελλόντων ἀπὸ τοῦ δημοσίου. κἂν μὴ σχῶσι δὲ, μὴ κατὰ τῶν Γενουϊτῶν ὀφειλόντων ἐνάγειν, ἀλλὰ κατὰ τοῦ δημοσίου αὐτοῦ ἐντὸς τοῦ νενομισμένου καιροῦ· κἂν μὲν τύχωσιν ἀντισηκώσεως, ἔχειν τὸ ἱκανὸν διὰ τοῦ δοθέντος, κἂν μὴ τύχωσι δὲ στέργειν ὡς τῆς βασιλείας μου ἐπ᾽ ἀδείας ἐκ τῶν νόμων ἐχούσης ἐν εἰδήσει δωρεῖσθαι καὶ τὰ ἀλλότρια, καὶ οὕτω δωρουμένης τὰ τοιαῦτα τῷ τῆς Γενούας πληρώματι. ὁ μέντοι γεγονὼς παρὰ τοῦ Ἀμίκου δὲ Μούρτα ὅρκος τοῦ ἀποκρισιαρίου Γενούας ἔχει οὕτως· ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἐγὼ ὁ Ἀμίκος δὲ Μούρτα ὁ Γενουΐτης, ἀποσταλεὶς παρὰ τῶν κονσούλων καὶ τῶν συμβούλων πάντων τοῦ κάστρου Γενούας καὶ λαβὼν ἐξουσίαν καὶ ἐνδόσιμον παρ᾽ αὐτῶν, ὡς ἐν ὅπερ ἐπομό-

σομαι, συμφωνῶν προσώπῳ τῶν Γενουΐτων μετὰ τοῦ ὑψηλοτάτου βασιλέως Ῥωμαίων τοῦ πορφυρογεννήτου κῦρ Μανουὴλ τοῦ Κομνηνοῦ, στερχθῇ τοῦτο καὶ παρ' αὐτῶν, τὴν παροῦσαν συμφωνίαν ποιῶ καὶ ἐπομνύω ἀπὸ θελήσεως πάντων τῶν Γενουΐτων πρὸς τὸν κύριον βασιλέα τὸν πορφυρογέννητον κῦρ Μανουὴλ καὶ πρὸς πάντας τοὺς κληρονόμους καὶ διαδόχους τῆς βασιλείας αὐτοῦ τοὺς μέλλοντας βασιλεύειν καὶ τὴν Ῥωμανίαν, καθὼς δηλωθήσεται· ὅτι ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ διηνεκὲς οὐδέποτε ἵνα γένωνται οἱ Γενουΐται ἐν βουλῇ ἢ ἐν ἔργῳ δι' ἑαυτῶν ἢ δι' ἑτέρων τινῶν, ἢ μετὰ ἐστεμμένων εἴτε καὶ μὴ τοιούτων, ἵνα ὁ κύριος βασιλεὺς ἢ οἱ κληρονόμοι αὐτοῦ καὶ διάδοχοι ἀπολέσωσι χώραν ἢ τιμήν, ἀφ' ὧν ἔχει σήμερον ἢ ὧν μέλλει ἐπικτήσασθαι, ἄνευ τοῦ ὅ τι ἐὰν κρατήσῃ ἐκ τῶν χωρῶν τῆς Συρίας, ἃς ἔχομεν ἢ κρατοῦμεν ἢ ἐν αἷς ἔχομεν δίκαιον εἴτε διὰ πολέμου εἴτε διὰ προσελεύσεως ἢ διὰ χαρίσματος ἢ διὰ ἀγορᾶς ἢ δι' ἀνταλλαγῆς, ἣν ἐποιήσαμεν, χώραν ἀντὶ χώρας λαβόντες. καὶ ἐὰν τῶν Γενουΐτων τῶν ὄντων ἐν ταῖς χώραις τοῦ βασιλέως τὶς ἢ τινὲς ἄνθρωποι οἱουδήτινος γένους κατ' ἐκείνων ὁρμήσωσιν ἢ καὶ παρακαθισμὸν ποιῶσιν, οἱ εὑρεθέντες ἐκεῖσε Γενουΐται μετὰ καλῆς πίστεως καὶ χωρὶς δόλου ἵνα δεφενδεύωσι καὶ τηρήσωσι τὰς τοιαύτας χώρας πρὸς τιμὴν τοῦ κυρίου βασιλέως κυροῦ Μανουὴλ καὶ τῶν κληρονόμων καὶ διαδόχων αὐτοῦ. καὶ ἐάν τις Γενουΐτης ποιήσῃ πταῖσμα τῇ βασιλείᾳ αὐτοῦ ἢ τοῖς ἀνθρώποις τῆς βασιλείας αὐτοῦ, οἱ κόνσουλοι τῆς Γενούας μετὰ καλῆς πίστεως ἵνα ἔχωσι χρέος ποιῆσαι δίκαιον μετὰ τὸ λαβεῖν εἴδησιν παρὰ τοῦ κυρίου βασιλέως. ὡσαύτως ὀμνύω, ὡς ἵνα διαφυλάξωσιν οἱ Γενουΐται τοὺς ἀποκρισιαρίους τοῦ βασιλέως ἐν πάσῃ τῇ διακρατήσει ἡμῶν, καὶ ἐάν ποτε στόλος ἑκατὸν κατέργων ἢ καὶ πλειόνων ὁρμήσῃ κατὰ τῶν χωρῶν τοῦ βασιλέως, ἵνα οἱ εὑρεθέντες Γενουΐται ἐν ταῖς χώραις τοῦ βασιλέως εἰσέλθωσιν εἰς τὰ κάτεργα τοῦ βασιλέως μετὰ ῥόγας τῆς συνήθως τοῖς Λατίνοις δοθησομένης, καὶ ἀπέλθωσι κατὰ τοῦ τοιούτου στόλου εἰς ἐκπλήρωσιν τῆς τοιαύτης δουλείας ἄνευ ἀνθρώπων εἴκοσι τῶν μελλόντων ἐναπολειφθῆναι πρὸς φυλακὴν τῶν πλοίων αὐτῶν. ταῦτα πάντα, ἃ περιέχει ἡ παροῦσα γραφή, ἵνα ὀμόσωσιν οἱ κόνσουλοι πάντες τῆς Γενούας διατηρῆσαι καὶ ὁ λαὸς Γενούας διὰ τοῦ ἑκατοντάρχου. καὶ ὡς ὀμνύω ταῦτα χωρὶς δόλου καὶ περινοίας, οὕτως ἵνα μοὶ βοηθῇ ὁ θεός. ὁ δὲ ἐπὶ

τῷ τοιούτῳ ὅρκῳ χρυσόβουλλος λόγος τοῦ ἀοιδίμου βασιλέως καὶ περιποθήτου θείου τῆς βασιλείας μου κῦρ Μανουὴλ τοῦ Κομνηνοῦ ἔχει οὕτως· ἐπεὶ οἱ συνετώτατοι κόνσουλοι καὶ σύμβουλοι καὶ ἡ πληθὺς ἅπασα τῆς κοινότητος τοῦ κάστρου Γενούας, ἐξαποστείλαντες πρὸς τὴν βασιλείαν μου ἀποκρισιάριον αὐτῶν τὸν φρονιμώτατον Ἀμίκον δὲ Μούρτα, ἐνδεδώκασιν τούτῳ τρακταῖσαι καὶ συμφωνῆσαι μετὰ τῆς βασιλείας μου περὶ ὧν ἠβούλοντο, ὁ δὲ καταλαβὼν πρὸς τὴν βασιλείαν μου καὶ ἐφ' ἱκανὸν περὶ τῶν τοιούτων τρακταῖσας ἐποίησε συμφωνίαν τὴν παρ' αὐτοῦ γεγονυῖαν καὶ δι' ὅρκου βεβαιωθεῖσαν, ἰδοὺ καὶ ἡ βασιλεία μου διὰ τὸ ἀγαθὸν θέλημα, ὃ κέκτηται πρὸς τοὺς ἐποίκους τοῦ τοιούτου κάστρου, καὶ διὰ τὴν δουλείαν καὶ τὴν εὔνοιαν, ἣν ὁμολογοῦσιν ἐκπληροῦν πρὸς τὴν βασιλείαν μου καὶ τὴν Ῥωμανίαν εἰς τὸν αἰῶνα τὸν ἅπαντα, καθυπισχνεῖται διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς ἐπιδοῦναι τοῖς Γενουΐταις ἔμβολον καὶ σκάλαν καὶ ἐκκλησίαν ἐντὸς τῆς Μεγαλοπόλεως, καθὼς ἐν τῷ γεγονότι αὐτοῖς πρακτικῷ δηλοῦται περὶ τούτου, δίδοσθαι δὲ καὶ τῷ κάστρῳ Γενούας καὶ τῇ κοινότητι χάριν σολεμνίου ἐτησίως ὑπέρπυρα πεντακόσια καὶ βλαττία δύο καὶ τῷ ἀρχιεπισκόπῳ Γενούας ὑπέρπυρα ἑξήκοντα καὶ βλαττίον ἕν, ἀφ' ὧν ἐδόθησαν καὶ νῦν τὰ τοῦ κάστρου καὶ τῆς κοινότητος σολέμνια ὑπὲρ χρόνων δέκα διὰ τοῦ ἀποκρισιαρίου αὐτῶν τοῦ φρονιμωτάτου Ἀμίκου δὲ Μούρτα. σὺν τούτοις καὶ διορίζεται κομμερκεύεσθαι αὐτοὺς οὕτως, ἤγουν ἐν μὲν τῇ θεοφυλάκτῳ Μεγαλοπόλει εἰς τὰ ἑκατὸν τέσσαρα, ἐν δὲ ταῖς λοιπαῖς χώραις τῆς Ῥωμανίας, καθὼς καὶ οἱ λοιποὶ Λατῖνοι οἱ διδόντες κομμέρκια, ὀφείλουσιν δὲ φυλάσσεσθαι οἱ Γενουῖται καὶ τὰ πράγματα αὐτῶν σῶα ἐν πάσαις ταῖς χώραις τῆς βασιλείας μου. εἰ δέ τις ἴσως βλάβη παρά τινος τούτοις ἐπισυμβαίη, ὀφείλουσιν εὑρίσκειν τὸ δίκαιον παρὰ τῆς βασιλείας ἡμῶν, καθὼς ἔστιν εἰκός· ἀλλὰ καὶ ὁπηνίκα ἐγκαλοῦσι κατά τινος Ῥωμαίου ἢ ἀλλογενοῦς ἐνώπιον τῆς βασιλείας μου, ἵνα εὑρίσκωσι δίκαιον ἐν τῇ αὐλῇ αὐτῆς. ἵνα δὲ ἔχωσιν ἐπ' ἀδείας τὰ γενουϊτικὰ πλοῖα πραγματεύεσθαι ἐν πάσαις ταῖς ὁπουδήποτε χώραις τῆς βασιλείας μου, ἄνευ τῆς Ῥωσίας καὶ τῶν Ματράχων, εἰ μὴ ἴσως ῥητῶς ἔστιν, ὅτε καὶ τοῦτο ἐκχωρηθῇ τούτοις παρὰ τῆς βασιλείας μου. ὁπηνίκα δὲ εἰσαγάγωσι πραγματείας ἐν τῇ Μεγαλοπόλει, καὶ οὐ δυνηθῶσιν ἴσως ταύτας διαπωλῆσαι, ἵνα γίνηται ἐπὶ



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

ταῖς τοιαύταις πραγματείαις, καθὼς ἔθος ἐστὶ γίνεσθαι καὶ ἐπὶ τοῖς λοιποῖς Λατίνοις τοῖς κομμερκευομένοις. καὶ ἐὰν πλοῖον Γενουΐτικὸν ἀφ' οἱουδήτινος τόπου ἐρχόμενον εἰς Ῥωμανίαν κινδυνεύσῃ καὶ συμβῇ τινὰ τῶν ἐν αὐτῷ πραγμάτων ἀφαιρεθῆναι ὑπό τινων, ἵνα γίνηται πρὸς ταῦτα τῆς βασιλείας μου ἐκδίκησις καὶ ἐπανάσωσις τῶν τοιούτων πραγμάτων. εἰ δ' ἴσως συμβῇ πταῖσαι τινὰς Γενουΐτας ὁπωσδήποτε, οὐκ ὀφείλουσιν κρίνεσθαι παρά τινος ἑτέρου ἀλλογενοῦς, εἰ μὴ παρὰ τῆς αὐλῆς τῆς βασιλείας μου, προκαθημένων δηλονότι Ῥωμαίων συγγενῶν ἢ καὶ ἀνθρώπων τῆς βασιλείας μου, καὶ ἵνα μὴ κατέχηται εἰς φυλακὴν ὁ πταίσας πρὸ κρίσεως, εἴπερ δίδωσιν ἐγγυητήν· εἰ δὲ μὴ δίδωσιν ἐγγυητήν, ἵνα κατέχηται μὲν εἰς φυλακήν, ἐκβάλληται δὲ καὶ κρίνηται, μέχρις ἂν γένηται ἀπόφασις ἐπ' αὐτῷ. σὺν τούτοις, ἵνα ἀποστέλληται μετὰ παραδρομὴν πέντε ἐνιαυτῶν βεστιαρίτης τῆς βασιλείας μου εἰς ἐκδίκησιν τῶν Γενουΐτῶν, κἂν οἱ τοιοῦτοι ἐγκαλῶσι τῇ βασιλείᾳ μου. εἴπερ οὖν τὸ τῆς Γενούας ἅπαν πλήρωμα, ὁ ἀρχιεπίσκοπος [δηλα]δὴ καὶ οἱ κόνσουλοι καὶ ἡ πληθὺς πᾶσα τῆς [Γενούας], τὴν παρὰ τοῦ ἀποκρισιαρίου αὐτῶν γεγονυῖαν συμφωνίαν προσδεξάμενοι συνεκπληρώσουσι ταύτην καὶ ἐγγράφως ποιήσουσι ταύτην καὶ ἐπομόσεται κατὰ τὰς ἐγκειμένας αὐτῇ διαστίξεις σῶ[αν] τηρεῖν αὐτὴν καὶ ἀπαράθραυστον εἰς τὸν αἰῶνα τὸν ἅπαντα εἰς τιμὴν τῆς βασιλείας ἡμῶν καὶ τῆς Ῥωμανίας, βέβαια συντηρηθήσεται καὶ παρὰ τῆς βασιλ[είας μου τὰ ἀνω]τέρω δηλούμενα, τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου βεβαίου καὶ ἀσφαλοῦς διαμένειν ὀφείλοντος. Μανουὴλ ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς πορφυρογέννητος καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Κομνηνός.

Συντηρηθήσονται τοίνυν τὰ ἀναγεγραμμέναπάντα βέβαια παρὰ τῆς βασιλείας μου καὶ τῶν κληρονόμων καὶ διαδόχων αὐτῆς καὶ τῆς Ῥωμανίας, εἴπερ καὶ ὁ ὢν ἐξουσιαστὴς ἐν τῷ κάστρῳ καὶ τῇ χώρᾳ Γενούας καὶ οἱ κόνσουλοι καὶ οἱ σύμβουλοι καὶ οἱ σενάτωρες καὶ οἱ λοιποὶ πρόκριτοι καὶ αὐτὸ τὸ κοινὸν τῆς Γενούας, παραδεξάμενοι τὰ παρὰ τῶν ἀναγεγραμμένων ἀποκρισιαρίων αὐτῶν συμφωνηθέντα καὶ ἐπομοθέντα πρὸς τὴν βασιλείαν μου καὶ τοὺς κληρονόμους καὶ διαδόχους αὐτῆς καὶ πρὸς αὐτὴν τὴν Ῥωμανίαν, συμφωνήσουσι ταῦτα καὶ σωματικῷ διαβεβαιώσονται ὅρκῳ καὶ ἔγγραφον δὲ τούτων περιεκτικὸν ἐκ . . . reliqua desunt.

A tergo: † Κατεστρώθη διὰ τοῦ Σγουροῦ Μιχαὴλ . . . . †

† Κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ μεγάλου λογαριαστοῦ μηνὶ μαΐῳ ἰνδ. ι'. †.

† Διὰ τοῦ Προματοῦ Θεοδώρου †.

† Κατεστρώθη ἐν τῷ σεκρέτῳ τοῦ γενικοῦ μηνὶ μαΐῳ ἰνδ. ι' τοῦ ,ϛψ' [ἔτους] †.

*Orig. carta bomb. tabull. Taurinensis.*

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## VI. (6701—1192) novembri ind. XI.

*Imperator Isaacius Angelus conqueritur de rapinis a Guilelmo Grasso aliisque Ianuensibus una cum Pisanis factis in insula Rhodo, retinet merces Ianuensium habitantium in urbe, mittitque legatos hac de causa.*

† Ἰσαάκιος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεύς, θεοστεφὴς ἄναξ, κραταιός, ὑψηλός, ἀεὶ αὔγουστος καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Ἄγγελος τοῖς συνετωτάτοις κουνσούλοις καὶ σενάτωρσι καὶ λοιποῖς ἐκκρίτοις ἐποίκοις τοῦ κάστρου Γενούας καὶ τῷ πιστοτάτῳ τῇ βασιλείᾳ μου παντὶ τούτου πληρώματι τὴν χάριν αὐτοῦ καὶ τὸ ἀγαθὸν θέλημα. τὸ περὶ τὴν καθ' ὑμᾶς χώραν εὐμενὲς τῆς βασιλείας μου καὶ ἀγαθοθελὲς ἐξ ἔργων αὐτῶν ὑμῖν παρεστήσατο ἡ βασιλεία μου οὐ μόνον εἰς τὴν χώραν αὐτῆς, αὖθις παραδεξαμένη ὑμᾶς παρὰ τοῦ τυράννου ἐκείνου Ἀνδρονίκου ἐκδιωχθέντας, ἀλλὰ καὶ τὰ διὰ χρυσοβούλλων τῶν ἀοιδίμων βασιλέων καὶ προγόνων τῆς βασιλείας μου δεδωρημένα ὑμῖν δίκαια ἐν τῇ Μεγαλοπόλει αὖθις ὑμῖν ἀποκαταστήσασα καὶ ἕτερα πολλῷ πλείω καὶ μείζω ἐκείνων δωρησαμένη ὑμῖν, ὧν καὶ ἐν κατασχέσει ἐστὲ, καὶ κατά γε τὸ τῆς βασιλείας μου θέλημα καὶ οὐδ' εἰς αἰῶνας ὅλους τῆς τούτων κατοχῆς καὶ νομῆς στερῆσαι ὑμᾶς τις δυνήσεται· τοσοῦτον δὲ τὸ φιλότιμον περὶ τὴν καθ' ὑμᾶς χώραν ἐπιδειξαμένη ἡ βασιλεία μου ἀνάλογον καὶ τὴν ἐξ ὑμῶν δουλείαν ἕξειν προσεδόκα, καὶ μὴ μόνον μὴ εἰς πολεμίους ὑμᾶς εὑρίσκειν καὶ προφανεῖς ἐχθροὺς ἄντικρυς, ἀλλὰ καὶ συνερίθους καὶ συμμάχους ἐν πᾶσιν οἷς ἂν εὑρεθῆτε τόποις, εἴτε κατὰ ξηράν, εἴτε καὶ κατὰ θάλατταν· τὸ δὲ νῦν πραχθὲν παρά τινος πλοίου γεννουϊτικοῦ ἐν τῇ χώρᾳ τῆς βασιλείας μου, οὗ κατῆρχεν ὅ τε Γιλιέλμος ὁ Γράσος, Ῥαδουανὸς ὁ ναύκληρος, ὁ Βάκα Βοῦβα, ὁ ἀνεψιὸς τοῦ

Ε.Λ.Α. της Κ.Ι.Π. ΙΩΑΝΝΙΝΑ 2006

Βαλδουίνου Γέρτζου, ὁ Τζίρης Δαΐζων, Οὗβος ὁ Μέδισος, ὁ Πύρρος, ὁ Σεμοῦντος, ὁ Διβάλτος, ὁ Παλτζέτζης καὶ ὁ Πασχάλης, συμπνεύσαντος καὶ ἑτέρου πλοίου πισσαϊκοῦ, πᾶσαν ἔχθρας ὑπερελαύνει ἔνδειξιν. πρῶτα μὲν γὰρ κατὰ τῆς χώρας τῆς βασιλείας μου τῆς Ῥόδου ὡς φίλοι τῷ λιμένι αὐτῆς προσοκείλαντες ὅπλα ἤραντο καὶ ἀόπλοις καὶ ἀφυλάκτοις ἐντυχόντες τοῖς περὶ τὸν αἰγιαλὸν τῆς τοιαύτης νήσου οἰκοῦσι μαχαίρας τούτους ἔθεντο παρανάλωμα, καὶ πάντα τὰ προσόντα αὐτοῖς πάρεργον λείας ἐποιήσαντο· ἔπειτα καὶ πλοίοις ἐντυχόντες βενετικοῖς, ἀπὸ τῶν μερῶν τῆς Παλαιστίνης καὶ τῆς Αἰγύπτου πρὸς τὴν βασιλείαν μου ἐρχομένοις καὶ ἀποκρισιαρίους τῆς βασιλείας μου, ἀλλὰ καὶ τοῦ σουλτάνου τῆς Αἰγύπτου τοῦ Σαλαχατίνου πρὸς τὴν βασιλείαν μου διαπλωϊζομένους ἔχουσι, ναυμαχίαν καὶ κατ᾽ αὐτῶν ἐνεστήσαντο, καὶ ὡς φίλοι προσεγγίσαντες τούτοις καὶ πρεβένταν εἰρηνικῶς τάχα ἐξ αὐτῶν ἐπιζητοῦντες ἐπεπήδησάν τε αὐτοῖς λῃστρικῶς, καὶ ἐν κατασχέσει τούτων γενόμενοι τοὺς μὲν ἀποκρισιαρίους τῆς βασιλείας μου καὶ τοὺς τοῦ σουλτάνου τῆς Αἰγύπτου ἀπηνῶς καὶ ἀνηλεῶς διὰ μαχαιρῶν κατέσφαξαν καὶ ἄλλους Ῥωμαίους καὶ Συριάνους πραγματευτάς, ὅσους ἐν τοῖς τοιούτοις πλοίοις εὗρον, τὰ δὲ ἐν αὐτοῖς πράγματα τῆς βασιλείας μου καὶ τῶν Ῥωμαίων πραγματευτῶν καὶ λοιπῶν καὶ τὰ παρὰ τοῦ Σαλαχατίνου σταλέντα τῇ βασιλείᾳ μου φάριά τε καὶ μουλάρια καὶ ἀλλοῖα ζῶα κυνηγετικὰ καὶ παντοῖα πολύτιμα πράγματα ἀνελάβοντο, μή τινος τῶν ἐν τοῖς τοιούτοις πλοίοις Ῥωμαίου ἢ ἐθνικοῦ, χριστιανοῦ τε καὶ μουσουλμάνου φεισάμενοι, εἰ μὴ μόνον τῶν ἐν αὐτοῖς ὄντων Γεννουϊτῶν καὶ Πισσαίων, οἷς καὶ σῶα τὰ πράγματα αὐτῶν ἀποδεδώκασιν, ἀλλὰ καὶ πλοίῳ λογγοβαρδικῷ ἐντυχόντες, εἰς τὰ μέρη τῆς Κύπρου ἀπερχομένῳ καὶ ἀποκρισιαρίους τῆς βασιλείας μου ἔχοντι, τόν τε θεοφιλέστατον ἐπίσκοπον Πάφου καὶ πρόεδρον τῶν πρωτοσυγκέλλων, καὶ τὸν φρέριον Σπανίουλον Οὗγον καὶ τὸν λίζιον καβαλλάριον τῆς βασιλείας μου Πιπῖνον τὸν Πισσαῖον, καὶ τῷ τοιούτῳ πλοίῳ λῃστρικῶς ἐπιθέμενοι κατίσχυσαν καὶ αὐτοῦ, καὶ τοὺς μὲν Λογγιβάρδους μαχαίρας παρανάλωμα ἔθεντο, τὸν δὲ Πιπῖνον Πισσαῖον καὶ τὸν Σπανίουλον Οὗγον μετὰ καὶ τῶν πραγμάτων αὐτῶν ἀπολελύκασι, τὸν θεοφιλέστατον ἐπίσκοπον Πάφου καὶ μόνον ἐν δεσμοῖς μέχρι τοῦ νῦν κατέχοντες. ταῦτα πάντα παρὰ τῶν Πισσαίων καὶ τῶν Γεννουϊτῶν κατεπράχθησαν,

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΩΝ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΩΝ ΣΠΟΥΔΩΝ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ 2006

καὶ τόση ζημία καὶ ἀτιμία τῇ βασιλείᾳ μου καὶ τῇ Ῥωμανίᾳ ἐκ τοῦ γένους ὑμῶν προσεγένετο· ἀλλ' ἡ βασιλεία μου καὶ ταῦτα, τοῦ πράγματος μεγάλου ὄντος καὶ μεγάλης ἐκδικήσεως δεομένου, φιλανθρώπως μέχρι καὶ νῦν ἀνέχεται, καὶ εἰ καὶ εἶχεν ἀντὶ τῶν σφαγέντων Ῥωμαίων πλείους Γεννουΐτας ἀνταποκτεῖναι καὶ Πισσαίους καὶ ἀντὶ τῶν ἀφαιρεθέντων πραγμάτων πολλαπλάσια λαβεῖν, ἐκδιῶξαί τε τέλεον τῶν τῆς Ῥωμανίας ὁρίων ἄμφω τὰ τοιαῦτα γένη, ὅμως ἠνέχετο καὶ εἰσέτι ἀνέχεται, ἂν εἴδησιν δοῦσα τῇ ὑμετέρᾳ συνέσει ἐκδίκησιν ἐξ αὐτῆς λάβοι τὴν προσήκουσαν καὶ ἱκάνωσιν τῶν πραγμάτων τῶν τε πραγματευτῶν καὶ τῶν τῆς βασιλείας μου καὶ αὐτῶν τῶν παρὰ τοῦ σουλτάνου τῆς Αἰγύπτου σταλέντων τῇ βασιλείᾳ μου, ἃ καὶ ποσοῦνται, τὰ μὲν τῆς βασιλείας μου εἰς νομίσματα ὑπέρπυρα ἑξακισχίλια ἑξακόσια ἑβδομήκοντα πέντε, τὰ δὲ τοῦ μεγαλεπιφανεστάτου καὶ οἰκείου τῇ βασιλείᾳ μου μυστοῦ εἰς ὑπέρπυρα ἑπτακόσια, τὰ τῶν πραγματευτῶν εἰς χιλιάδας ὑπερπύρων τρίακοντα ἐννέα, νομίσματα ὅμοια ἑκατὸν ἐννενήκοντα τρία, τοῦ περιποθήτου αὐταδέλφου τῆς βασιλείας μου, τοῦ πανευτυχεστάτου σεβαστοκράτορος κυροῦ Ἀλεξίου, εἰς ὑπερπύρων χιλιάδας πεντήκοντα, ὡς εἶναι ὁμοῦ τὰ ὅλα χιλιάδας ὑπερπύρων ἐννενήκοντα ἕξ, νομίσματα ὅμοια πεντακόσια ἑξήκοντα ἕξ, ἄνευ τῶν μὴ δηλωθέντων ἐν τῷ σημειώματι, ὡς τῶν ἐχόντων αὐτὰ τῶν μὲν σφαγέντων, τῶν δὲ κατασχεθέντων, καὶ ἄνευ τῶν πρὸς τὴν βασιλείαν μου παρὰ τοῦ Σαλαχατίνου σταλέντων φαρίων, ξυλαλοῶν, βαλσαμελαίου, ἀμπαράτων, βλαττίων, σελοχαλίνων χρυσῶν εἰκοσιεπτὰ μετὰ λιθαρίων καὶ μαργαριτάρων καὶ τῶν τοῦ Σαλαχατίνου καὶ τοῦ ἀποκρισιαρίου αὐτοῦ καὶ ἑτέρων ἰδικῶν πραγμάτων. ἀναδιδάσκει γοῦν ταῦτα ὑμᾶς ἡ βασιλεία μου, καὶ ἐπιζητεῖ ἐξ ὑμῶν κατὰ τὴν συμφωνίαν ὑμῶν τήν τε ἐπὶ τοῖς ἀποκτανθεῖσιν ἐκδίκησιν καὶ τὴν τῶν πραγμάτων πάντων ἱκάνωσιν· εἰ δὲ μὴ ἱκανωθήσεται ταῦτα πάντα ἀπὸ τῶν ἐν τῇ Μεγαλοπόλει παρευρεθέντων Γεννουϊτῶν, οὓς ἐν ἐλευθερίᾳ μέχρι καὶ νῦν καὶ ἐν πάσῃ ἀδείᾳ διαφυλάττει ἡ βασιλεία μου καὶ ἐν κατασχέσει τῶν δεδωρημένων τῇ Γεννούᾳ ἀκινήτων ἐντὸς τῆς Μεγαλοπόλεως ὄντας, διατηρεῖ μόνας τὰς πραγματείας αὐτῶν ἐν ἀσφαλεῖ θεμένη, ὥστε παρ' αὐτῶν διαπωλεῖσθαι, καθὼς ἂν αὐτοὶ καὶ πρὸς οὓς βούλωνται, καὶ τὸ τίμημα τούτων ἐναποτίθεσθαι, ὡς ἂν εἰ μὴ φροντὶς τῇ ὑμετέρᾳ χώρᾳ γένοιτο τῆς ὀφειλομένης ἐπὶ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΚΡΗΤΣΙΚΗΣ
ΙΩΑΝΝΙΝΑ 2006

τῷ τοιούτῳ ἀτοπήματι ἐκδικήσεως καὶ τῆς τῶν πραγμάτων πάντων ἱκανώσεως, ἱκανωθῆναι ταῦτα ἐξ αὐτῶν τήν τε βασιλείαν μου καὶ τοὺς ἐν τοῖς τοιούτοις πλοίοις ὄντας πραγματευτὰς καὶ ἔκτοτε πάλιν εἶναι τὴν πρὸς ὑμᾶς τῆς βασιλείας μου εὐμένειαν, εἰ βούλεσθε, σῶαν καὶ ἀσφαλῆ. φροντισάτω οὖν ἡ ὑμετέρα σύνεσις τοῦ τε συμφέροντος ὑμῖν καὶ τοῦ ἀζημίου τῇ βασιλείᾳ μου καὶ τῇ Ῥωμανίᾳ. ἐπὶ τούτῳ γὰρ καὶ ὁ παρὼν ἄνθρωπος τῆς βασιλείας μου ὁ Ἴγγλινος Πέτρος σὺν τῷ συμπολίτῃ ὑμῶν Πέτρῳ Πανδώλφῳ πρὸς ὑμᾶς ἀπεστάλη. † **Μηνὶ νοεμβρίῳ ἰνδ. ια΄.** †

† **Βασιλικὸν** εἰς τοὺς συνετωτάτους κουνσούλους καὶ σενάτωρας καὶ λοιποὺς ἐκκρίτους ἐποίκους Γενούας καὶ τὸ λοιπὸν πιστότατον τῇ βασιλείᾳ μου πλήρωμα αὐτῶν. †

*Orig. chart. bomb. tabull. Taurinensis.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## VII. (6702—1193) octobri ind. XII.

*Imperator Isaacius Angelus condonat iniurias a Ianuensibus Graecis illatas renovatque privilegia Ianuensium in urbe Cpli.*

† Ἔφθασαν μὲν οἱ ἀπὸ τοῦ κάστρου Γενούας σταλέντες πρὸς τὴν βασιλείαν μου κατὰ τὸν ἀπρίλλιον μῆνα τῆς παρελθούσης δεκάτης ἰνδικτιῶνος, τοῦ ‚ϛψ΄ ἔτους, ἀποκρισιάριοι ὅ τε Γίδος Σπίνουλος καὶ ὁ Γιλίελμος Τορνέλος συμφωνῆσαι μετὰ τῆς βασιλείας μου καὶ τῆς Ῥωμανίας δικαίῳ τοῦ κάστρου καὶ τῆς χώρας αὐτῶν, ὅσα δῆτα καὶ συνεφώνησαν καὶ τῇ ἐγγράφῳ ἐνόρκῳ συμφωνίᾳ αὐτῶν, ναὶ δῆτα καὶ τῷ ἐπορεχθέντι αὐτοῖς χρυσοβούλλῳ τῆς βασιλείας μου τῷ κατὰ τὸν αὐτὸν καιρὸν ἀπολυθέντι, ἐν ᾧ καὶ ἡ τοιαύτη συμφωνία αὐτῶν κατὰ ῥῆμα διαλαμβάνεται, δηλοῦνται· ἐπεὶ δὲ οὔπω οὐδ' ἑνὸς ἐνιαυτοῦ κύκλος παρέδραμε, καὶ ὁ τοῖς ἀγαθοῖς ἀντικείμενος σατὰν καὶ τῆς εἰρήνης πολέμιος ἀνδρῶν οὐκ ἀγαθῶν ἀπὸ Γενούας ὁρμημένων ἐμψιθυρίσας ψυχαῖς ἰὸν ταύταις λῃστείας καὶ ἀδικίας ἐνέχεε, καὶ πειρατικαῖς ναυσὶν οὐ μόνον μακραῖς, ἀλλὰ καὶ περιηγμέναις τε καὶ στρογγύλοις τὸ Ἰσσικὸν καὶ Παμφύλιον παραπλέοντες πέλαγος ταῖς διαπλωϊζομέναις τοῦτο ναυσὶ μιαιφόνους χεῖρας ἐπέβαλλον, καὶ τοὺς ἐν αὐταῖς κατασφάττοντες τὰ προσόντα αὐτοῖς ἐληΐζοντο, κἀντεῦθεν

Ε. Δ. Α. τμ. Κ. τ. Π. ΙΩΑΝΝΙΝΑ 2006

καὶ βενετικῷ πλοίῳ ἐντυχόντες, ἀπὸ τῆς Μεγαλοπόλεως εἰς Αἴγυπτον ἀπάραντι, κἀκεῖθεν αὖθις εἰς τὴν Μεγαλόπολιν κατᾶραι σπεύδοντι, καὶ ἀνθρώπους τῆς βασιλείας μου καὶ ἀποκρισιαρίους τοῦ εὐγενεστάτου ἐκείνου σουλτάνου τῆς Αἰγύπτου τοῦ Σαλαχατίνου πρὸς τὴν βασιλείαν μου καὶ πράγματα οὐκ ὀλίγα τῇ βασιλείᾳ μου παρ' ἐκείνου σταλέντα φέροντι, ἀλλὰ καὶ πραγματευτὰς Ῥωμαίους πολλοὺς καὶ ἐξ αὐτῆς τῆς Μεγαλοπόλεως ὁρμωμένους καὶ τὰ πρῶτα τῶν ἐν αὐτῇ πραγματευτῶν φερομένους, προσεπέλασάν τε τῷ τοιούτῳ πλοίῳ κατὰ φίλους, καὶ εἰρηνικοὺς τὰ πρῶτα πρὸς αὐτοὺς λόγους θέμενοι αἴφνης αὐτῷ λῃστρικῶς ἐπεπήδησαν, καὶ πάντας τοὺς ἐν αὐτῷ φόνου παρανάλωμα ποιησάμενοι καὶ αὐτοὺς τοὺς τῆς βασιλείας μου ἀνθρώπους, ἀλλὰ καὶ τοὺς πρὸς τὴν βασιλείαν μου σταλέντας ἀποκρισιαρίους τοῦ ῥηθέντος εὐγενεστάτου ἐκείνου σουλτάνου Αἰγύπτου, τῶν τε ἐμφερομένων τῷ πλοίῳ πάντων πραγμάτων καὶ τῶν πρὸς τὴν βασιλείαν μου παρὰ τοῦ δηλωθέντος σουλτάνου Αἰγύπτου σταλέντων φαρίων καὶ ἄλλων ἀγρίων τε καὶ τιθασσευομένων ζώων, οἷα Λιβύη τρέφει καὶ Αἴγυπτος, ἐγκρατεῖς γεγόνασιν. ἐπεὶ οὖν οὐκ ἦν ταῦτα πράως ἐνεγκεῖν τὴν βασιλείαν μου, καὶ μάλιστα παρὰ τῶν ἀπὸ τῆς Μεγαλοπόλεως ἐν τῷ τοιούτῳ πλοίῳ εὑρεθέντων πραγματευτῶν παρορμωμένην, καθ' ἑκάστην πρὸς αὐτὴν ἀνακλαιομένων καὶ τὴν ἐκδίκησιν λιπαρῶς ἐξαιτουμένων καὶ τῆς βασιλείας μου ὁσημέραι δεομένων, ἐκχωρῆσαι αὐτοῖς ἱκανωθῆναι τὰ πράγματα αὐτῶν ἐκ τῶν ἐνταῦθα εὑρισκομένων Γενουϊτῶν, ἡ βασιλεία μου ἅμα μὲν καὶ τοῖς Κωνσταντινουπολίταις πραγματευταῖς τὸ πολὺ περιαιροῦσα τῆς θλίψεως καὶ τὴν τῆς ζημίας ἀνακωχὴν ὑποτεινομένη, ἅμα δὲ καὶ τοὺς Γενουΐτας διεγεῖραι περισσοτέρως θελήσασα εἰς τὴν τοῦ τοιούτου κακοῦ κατὰ τὰ συμπεφωνημένα ἐκδίκησιν, συνήγαγέ τε τοὺς τῇ Μεγαλοπόλει ἐνδημοῦντας Γενουΐτας καὶ φροντίσαι τῆς τοῦ κακοῦ ἐκδικήσεως τούτοις ἐπέσκηψεν. ὡς δὲ οὗτοι τὴν τοῦ τηλικούτου πράγματος ἀνεβάλλοντο φροντίδα καὶ ἑαυτῶν ταύτην ἀποτινάσσεσθαι ἐπειρῶντο, τὴν τῶν τολμησάντων τοῦτο κακίαν προβαλλόμενοι καὶ τὴν διὰ ταύτην ἀπὸ τῆς χώρας αὐτῶν πρὸ χρόνων ἤδη πολλῶν ἀποσόβησιν. κἀντεῦθεν αὖθις ἀγριωτέρως αὐτοῖς ὁ τῶν Κωνσταντινουπολιτῶν ἐπηγείρετο δῆμος, καὶ θερμοτέρως ἐδεῖτο τῆς βασιλείας μου ἐξ αὐτῶν ἱκανωθῆναι τὰ ἀπὸ τοῦ τοιούτου πλοίου ἀφαιρεθέντα πράγματα αὐτῶν, ἢ

βασιλεία μου τῷ καιρῷ καὶ τοῖς πράγμασι ἐνδιδοῦσα μέσως χωρεῖται, τοῖς τε Κωνσταντινουπολίταις τὸν θόρυβον καταστέλλουσα καὶ τοῖς Γενουΐταις τὸ ἀσφαλὲς ἐπὶ τοῖς πράγμασιν αὐτῶν περιποιουμένη καὶ τὴν προκυρωθεῖσαν συμφωνίαν τῆς βασιλείας μου καὶ τῆς Ῥωμανίας καὶ τοῦ κάστρου καὶ τῆς χώρας Γενούας μὴ ἀκυρωθῆναι διοικονομοῦσα καὶ δὴ τοὺς Γενουΐτας ἐγκρατεῖς εἶναι ἀφεῖσα τῶν λοιπῶν πραγμάτων αὐτῶν, ἀπόμοιραν ἐξ αὐτῶν λαμβάνει ὑπὸ ἐγγυηταῖς τοῖς παρ' αὐτῶν δοθεῖσι καὶ ὡς παρακαταθήκην τὴν τοιαύτην ἀπόμοιραν κατέχειν παρ' αὐτῆς ἐκλεγεῖσιν, εἰς χιλιάδας ὑπερπύρους εἴκοσι ποσουμένην, ἐπὶ αἱρέσει τοιαύτῃ, ὡς εἰ μὲν εἴδησιν λαβόντες τοῦ συμβάντος οἱ ἔποικοι τοῦ κάστρου Γενούας εἰς ἐκδίκησιν διεγερθεῖεν τοῦ πράγματος, ἀποδοθήσεται τούτοις ἡ κατασχεθεῖσα ἀπόμοιρα, εἰ δὲ ἀμελῶς περὶ ταύτην διατεθεῖεν, ἔσονται αἱ τοιαῦται εἴκοσι χιλιάδες ὑπέρπυροι παρὰ τοῖς Ῥωμαίοις εἰς ἱκάνωσιν τῶν πραγμάτων αὐτῶν. οἰκονομεῖται ταῦτα παρὰ τῆς βασιλείας μου, καὶ ὁ θόρυβος καταστέλλεται, καὶ οἱ Γενουΐται τῇ Μεγαλοπόλει ἐλευθέρως καὶ αὖθις ἐνδιατρίβουσι, τοῖς ἀποκληρωθεῖσιν αὐτοῖς ἐν τῇ Μεγαλοπόλει διαιτήμασιν ἀνέτως χρώμενοι. στέλλει δὲ ἡ βασιλεία μου ἄνθρωπον αὐτῆς μετὰ καὶ γραμμάτων σὺν ἑνὶ τῶν ἐν τῇ Μεγαλοπόλει Γενουϊτῶν εἰς τὸ κάστρον τὴν Γένουαν τὰ συμβάντα ἀναδιδάσκοντα, οἱ δὲ Γενουΐται τὰ τῆς βασιλείας μου δεξάμενοι γράμματα, ὡς προσῆκον ἦν συνετοῖς καὶ φρονίμοις ἀνθρώποις καὶ πιστοῖς τῇ βασιλείᾳ μου διετέθησαν, καὶ πολλὴ μὲν αὐτοῖς ἡ τοῦ πράγματος φροντὶς γίνεται, στέλλουσι δὲ καὶ ἀποκρισιαρίους πρὸς τὴν βασιλείαν μου περὶ τούτων διαπρεσβεύοντες, τόν τε πιστότατον λίζιον αὐτῆς Βαλδουΐνον Γέρτζον καὶ τὸν Γίδον Σπίνουλον, οἳ καὶ καταλαβόντες πρὸς τὴν βασιλείαν μου καὶ πολυτρόπως αὐτὴν πληροφορήσαντες τὸ τῶν τὸ ἄτοπον τοῦτο ἔργον ποιησαμένων Γενουϊτῶν ἀπόβλητον καὶ ἐκδεδιῃτημένον καὶ τὴν διὰ ταῦτα πολὺν ἤδη χρόνον τῆς Γενούας ἀποικίαν καὶ τὸν ἀπὸ τοῦ κάστρου αὐτῶν ἔνδικον διωγμόν, καὶ ὡς οὐδέποτε λήξουσιν ἀναψηλαφῶντες αὐτούς, μέχρις ἂν κατασχόντες τούτους ταῖς χερσὶ τῆς βασιλείας μου παραδώσουσι, καὶ πολλὴν πρὸς τὴν βασιλείαν μου παράκλησιν ποιησάμενοι, μὴ διὰ δύο ἢ καὶ τριῶν ἀνδρῶν κακίαν ὅλον τὸ κατ' αὐτοὺς ἀποβαλέσθαι κάστρον, πολλὴν τὴν εἰς τὴν βασιλείαν μου καὶ Ῥωμανίαν πίστιν καὶ εὔνοιαν τρέφον καὶ ἐπὶ ταύτῃ καυ-

χώμενον καὶ ὅλαις χερσὶν αὐτῆς, ἐξεχόμενον, κατεδυσώπησάν τε τὴν βασιλείαν μου καὶ μὴ ἀπολέσαι δίκαιον μετὰ ἀσεβοῦς, ἢ μᾶλλον εἰπεῖν διὰ ἀσεβῆ καταπεπείκασι. καὶ δὴ κάμπτεται τούτοις ἡ βασιλεία μου, καὶ τὰ ἐγγυηταῖς παρατεθέντα γενουϊτικὰ νομίσματα, ὡς ἀνωτέρω δεδήλωται, ὡς ἤδη τῆς Γενούας οὕτω τὴν ἐπιφορτισθεῖσαν αὐτῇ φροντίδα ἐκπληρωσάσης, ἀποδοθῆναι αὐτοῖς διωρίσατο, καὶ μέντοι καὶ ἀποδέδοται. ἐπεὶ δὲ διὰ τὸ παρεμπεσὸν σκάνδαλον καὶ ἑτέρῳ χρυσοβούλλῳ τῆς βασιλείας μου τὸν προαπολυθέντα ἐπὶ τῇ συμφωνίᾳ αὐτῶν χρυσόβουλλον λόγον τῆς βασιλείας μου ἐπικυρωθῆναι ᾐτήσαντο, κατανεύει καὶ πρὸς τὴν τοιαύτην αὐτῶν ἡ βασιλεία μου αἴτησιν, ὡς καὶ αὐτῶν ἐγγράφῳ αὐτῶν καὶ τῶν ἐν τῇ Μεγαλοπόλει ἐκκρίτων Γενουϊτῶν ἐνυπογράφῳ καὶ ὅρκῳ σωματικῷ ἐπὶ τῷ ἐγγράφῳ τὴν προομοθεῖσαν συμφωνίαν αὐτῶν ἐνταῦθα ἐπικυρωσάντων κατὰ τὸ ἐνδεδομένον αὐτοῖς ἀπὸ τῆς χώρας αὐτῶν, καθ' ἣν τῇ βασιλείᾳ μου διεκόμισαν γραφὴν τῶν κουνσούλων καὶ συμβούλων τοῦ κάστρου αὐτῶν, συμφωνησάντων δὲ καὶ τὸ ἐν τῇ ἐναλλαγῇ τῶν κουνσούλων καὶ συμβούλων αὐτῶν ἢ καὶ ἐξουσιαστῶν τοὺς ἑκάστοτε γινομένους ἑτέρους κονσούλους καὶ συμβούλους ἢ καὶ ἐξουσιαστὰς προτιθέναι τῷ ἐπὶ ταύτῃ ὅρκῳ καὶ τοῦτο τὸ μηδὲ διὰ τὸ συμβὰν μερικὸν σκάνδαλον μεταξὺ τῆς Ῥωμανίας καὶ τῆς Γενούας ὁτεδήποτε ἀλλοίωσιν ἐμποιῆσαι τοῖς μετὰ τῆς Ῥωμανίας καὶ τῆς Γενούας συμφωνηθεῖσι. ταῦτα οὕτω τούτων καταθεμένων ἐνώπιον τῆς βασιλείας μου καὶ τὴν τοιαύτην αὐτῶν κατάθεσιν πιστωσαμένων δι' ἐγγράφου ἐνυπογράφου αὐτῶν καὶ ὅρκου οὕτως ἐχόντων· ἐπεὶ ὁ ἁγιώτατος κύριος βασιλεὺς Ῥωμαίων καὶ ἀεὶ αὔγουστος κῦρ Ἰσαάκιος ὁ Ἄγγελος ἀντέστρεφε πρὸς ὑμᾶς τοὺς ἀποκρισιαρίους τοῦ κάστρου καὶ τῆς χώρας Γενούας, τόν τε Βαλδουῖνον Γέρτζον καὶ τὸν Γίδον Σπίνουλον, καὶ δι' ἡμῶν πρὸς πάντας τοὺς ἐν τῇ Μεγαλοπόλει Γενουΐτας καὶ πρὸς αὐτὸ τὸ κάστρον τὴν Γένουαν τὰ ἐξ αὐτῶν ἀφαιρεθέντα νομίσματα καὶ ἐγγυηταῖς, οἷς αὐτοὶ ἠβουλήθησαν παρατεθέντα αἰτίᾳ τῆς γεγονυίας ζημίας τῇ ἁγίᾳ αὐτοῦ βασιλείᾳ καὶ τοῖς Ῥωμαίοις πραγματευταῖς καὶ τοῦ φόνου τῶν ἀποκρισιαρίων τῆς ἁγίας αὐτοῦ βασιλείας καὶ τῶν πρὸς τὴν βασιλείαν αὐτοῦ ἐρχομένων ἀποκρισιαρίων τοῦ εὐγενεστάτου ἐκείνου σουλτάνου Αἰγύπτου τοῦ Σαλαχατίνου καὶ τῆς ἀφαιρέσεως τῶν φαρίων καὶ ἀλλοίων αἰγυπτιακῶν ζώων τῶν πρὸς τὴν ἁγίαν αὐ-

τοῦ βασιλείαν διακομιζομένων ὡς ἀποσταλέντων παρὰ τοῦ εὐγενεστάτου τοιούτου σουλτάνου Αἰγύπτου τοῦ Σαλαχατίνου καὶ τῶν λοιπῶν δώρων, ὅσα τῇ ἁγίᾳ αὐτοῦ βασιλείᾳ ὁ ῥηθεὶς σουλτάνος Αἰγύπτου ἀπέστειλε πολυτελῆ καὶ πολύτιμα, τῶν καὶ εὑρεθέντων ἐν τῷ πλοίῳ τοῦ βενετίκου τοῦ Πορδάνου, τῷ κατασχεθέντι παρὰ τοῦ γενουϊτικοῦ πλοίου τοῦ ναυκληρευομένου παρά τε τοῦ Γιλιέλμου Γράσου, τοῦ Ῥαδουάνου ναυκλήρου, τοῦ Βάκα Βούβα, τοῦ ἀνεψιοῦ τοῦ Βαλδουίνου Γέρτζου, τοῦ Τζίρη Δαΐζων, τοῦ Οὔβου Μεδίσου, τοῦ Πύρρου, τοῦ Σεμούντου, τοῦ Διβάλτου, τοῦ Παλτζέτζη καὶ τοῦ Πασχάλη καὶ ἑτέρων Γενουϊτῶν, διὰ τὸ πληροφορίαν λαβεῖν τὴν ἁγίαν αὐτοῦ βασιλείαν ἐξ ἡμῶν, ὡς πρὸ πολλοῦ οἱ τοιοῦτοι τοῦ κάστρου Γενούας ἀπεδιώχθησαν διὰ τὸν ἐκδεδιῃτημένον αὐτῶν βίον καὶ τὴν ἐν οὐκ ἀγαθοῖς ἀναστροφήν, καὶ ἐλάβομεν ἡμεῖς τὰ τοιαῦτα νομίσματα εἰς εἴκοσι χιλιάδας ὑπέρπυρα ποσούμενα ἀπὸ χειρῶν τοῦ Ὀξεοβαφεωπούλου Ἰωάννου εἰς τὰς ἡμετέρας χεῖρας καὶ δι' ἡμῶν οἱ ταῦτα τοῖς ἐγγυηταῖς παραθέμενοι Γενουῖται πραγματευταὶ οἱ καὶ τῇ Μεγαλοπόλει κατὰ τὸν νοέμβριον μῆνα τῆς διελθούσης ἑνδεκάτης ἰνδικτιῶνος κατ' ἐμπορίαν προσοκείλαντες μετὰ τοῦ πλοίου τοῦ Γενουΐτου Ἐρρίκου τοῦ Νεβιτέλα· ἐπεὶ οὖν ταῦτα οὕτως ἐλάβομεν, καὶ ἀναργυρίαν προβαλέσθαι οὐκ ἔχομεν μερικῶς ἢ καθόλου, οὔτε μὴν ἑτέρα τις πρόφασις ἡμῖν ὑπολέλειπται εἰς ἀναίρεσιν τῶν συμφωνηθέντων παρὰ τοῦ καθ' ἡμᾶς κάστρου καὶ τῆς χώρας τῆς Γενούας πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν βασιλέα, κῦρ Ἰσαάκιον τὸν Ἄγγελον, καὶ τὴν Ῥωμανίαν, τῶν καὶ δι' ἐγγράφου ὁρκωμοτικοῦ ἡμῶν καὶ χρυσοβούλλου τῆς ἁγίας αὐτοῦ βασιλείας, ἐν ᾧ καὶ τὸ τοιοῦτον ἔγγραφον κατεστρωμένον ἐστί, δηλουμένων, ᾧ ἐγγράφῳ ἀκολούθως καὶ οἱ κόνσουλοι τοῦ κάστρου ἡμῶν καὶ οἱ λοιποὶ ἔκκριτοι τῶν συμφυλετῶν ἡμῶν τὴν πρὸς τὸν κραταιὸν καὶ ἅγιον βασιλέα Ῥωμαίων κῦρ Ἰσαάκιον τὸν Ἄγγελον, καὶ πρὸς αὐτὴν τὴν Ῥωμανίαν πίστιν ἐπωμόσαντο πρὸς τοὺς ἐκεῖσε ἀποσταλέντας ἀποκρισιαρίους τῆς ἁγίας αὐτοῦ βασιλείας, τόν τε Πεπαγωμένον Νικηφόρον καὶ τὸν διερμηνευτὴν Γηράρδον, ὀμνύομεν, ἵνα πάντα τὰ παρὰ τοῦ κάστρου καὶ τῆς χώρας ἡμῶν συμφωνηθέντα καὶ ἐν τῷ χρυσοβούλλῳ διειλημμένα καὶ τῷ ἐν αὐτῷ κατεστρωμένῳ ἐγγράφῳ ἡμῶν δηλούμενα ὡς συμφωνηθέντα παρὰ τοῦ αὐτοῦ κάστρου καὶ τῆς χώρας ἡμῶν φυλάττωνται ἀπαρεγχείρητα καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ Ν. ΠΑΠΑΖΟΓΛΟΥ
ΕΙΣ Δ.Ο.Σ. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀναλλοίωτα εἰς τὸν αἰῶνα τὸν ἅπαντα παρὰ παντὸς τοῦ πληρώματος τοῦ κάστρου καὶ τῆς χώρας Γενούας, καθὼς ἀρχῆθεν ὠμόθησαν, καὶ οὐδὲν πρόκριμα τῷ κάστρῳ καὶ τῇ χώρᾳ ἡμῶν πρὸς ἀναίρεσιν τῶν συμφωνηθέντων, ὡς εἴρηται, ἐκ τῆς τῶν Γενουΐτων τῶν ἐν τῇ Μεγαλοπόλει κατασχέσεως καὶ τῆς τῶν πραγμάτων αὐτῶν παρ' ἐγγυηταῖς καταθέσεως προσγενήσεται εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους διὰ τὸ οἰκονομικῶς ἄγαν καὶ κατὰ προμήθειαν ἀρίστην, καὶ ἵνα μὴ κακόν τι μέγα παρὰ τῶν Κωνσταντινουπολιτῶν τοῖς ἐν τῇ Μεγαλοπόλει Γενουΐταις συμβῇ, ὁποῖα ὁ πολὺς ὄχλος οἶδε ποιεῖν, τὴν ἁγίαν αὐτοῦ βασιλείαν τοῦτο οἰκονομῆσαι καὶ οὐδέποτε μνήμην τῆς τοιαύτης ὑποθέσεως ποιησόμεθα, μᾶλλον μὲν οὖν καὶ ἐν τοῖς ὅρκοις τοῖς γινομένοις ἐν τῷ κάστρῳ ἡμῶν ἐπὶ ταῖς ἐναλλαγαῖς τῶν κονσούλων καὶ συμβούλων ἢ καὶ ἐξουσιαστῶν τοῦτο προστίθεσθαι, ἀμνηστίαν παντελῆ πάντας τοὺς Γενουΐτας ἔχειν τοῦ τοιούτου σκανδάλου καὶ μηδέποτε ἕνεκα τούτου πρὸς ἄμυνάν τινα κατὰ τῆς Ῥωμανίας μερικῶς ἢ καθόλου αὐτοὺς χωρῆσαι, μηδὲ ὅλως εἰς πρόφασιν μιᾶς καὶ μόνης κεραίας ἀναιρέσεως τῶν ἐν τῷ ὁρκωμοτικῷ ἡμῶν ἐγγράφῳ κειμένων χωρῆσαι ὅτε δήποτε, ὡς καὶ τοῦ κυρίου βασιλέως καὶ τῆς Ῥωμανίας κατανεύσαντος διὰ τοῦ γεγονότος νῦν αὖθις ἡμῖν προσκυνητοῦ χρυσοβούλλου τῆς ἁγίας αὐτοῦ βασιλείας μηδέποτε ἀπὸ τοῦ νῦν ἐν κατασχέσει τινὸς τῶν Γενουΐτων γενέσθαι, μήτε διὰ τὴν τοιαύτην αἰτίαν, μήτε δι' ἑτέραν οἱανδήτινα μερικὴν ζημίαν ἢ βλάβην τῇ Ῥωμανίᾳ ἢ τινὶ τῶν ἐποίκων αὐτῆς εἰς τὸ ἑξῆς ἐπενεχθησομένην παρά τινων Γενουΐτων πρὸ τοῦ δοῦναι εἴδησιν τῷ κάστρῳ Γενούας καὶ ἐξ ἐκείνου τὴν ἐκδίκησιν ἀπαιτῆσαι, καθὼς ἀρχῆθεν συνεφωνήθη, τὸ παρὸν χρυσόβουλλον σιγίλλιον τῷ κάστρῳ καὶ τῇ χώρᾳ Γενούας ἡ βασιλεία μου ἐπεβράβευσε, δι' οὗ θεσπίζει καὶ διορίζεται, τὸ βέβαιον καὶ ἀσφαλὲς καὶ ἀπαράθραυστον ἔχειν τὰ συμφωνηθέντα πάντα μεταξὺ τῆς βασιλείας μου καὶ τῆς Ῥωμανίας καὶ τῶν Γενουΐτων καὶ ἐν τῷ προαπολυθέντι χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου κατὰ τὸν ἀνωτέρω δηλωθέντα καιρόν, ἐν ᾧ καὶ τὸ ὁρκωμοτικὸν αὐτῶν ἔγγραφον κατεστρωμένον ἐστί, δηλούμενα καὶ μηδέποτε ἄλλοτε παρὰ τὴν περίληψιν τοῦ τοιούτου χρυσοβούλλου τῆς βασιλείας μου ἢ παρὰ τοῦ μέρους τῆς βασιλείας μου καὶ τῆς Ῥωμανίας γενέσθαι ἐπὶ τοῖς Γενουΐταις ἢ παρὰ τῶν Γενουΐτων ἐπὶ τῷ μέρει τῆς βασιλείας

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΣΤ. ΥΠΕΥΘΥΝΟΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Γ.Δ. της Ι.Ε.Π.Π ΙΩΑΝΝΙΝΑ 2006

μου καὶ τῆς Ῥωμανίας, ἀλλὰ μηδὲ ἀπὸ τοῦ, ὡς εἴρηται, προβάντος σκανδάλου πρόφασιν ὁτεδήποτε μερικῶς ἢ καθόλου τῷ μέρει τῆς βασιλείας μου καὶ τῆς Ῥωμανίας ἢ τῇ Γενούᾳ δοθῆναι εἰς ἀναίρεσιν τῶν μεταξὺ ἡμῶν συμφωνηθέντων ἐν τῷ χρυσοβούλλῳ λόγῳ τῆς βασιλείας μου καὶ τῷ ὁρκωμοτικῷ ἐγγράφῳ αὐτῶν ἐμπεριειλημμένων, ἀλλ' ἐν ἀσφαλεῖ καὶ ἀπαραβάτῳ καὶ ἀκεραίῳ φυλάττεσθαι ταῦτα, καθὼς ἀρχῆθεν ἐξετέθησαν, καὶ οὕτω λογίζεσθαι, ὡς μηδενὸς παρεμπεσόντος σκανδάλου εἰς ἀναίρεσιν τούτων ὁπωσδήποτε ἀφορῶντος. ἐπὶ τούτῳ γὰρ καὶ τὸ παρὸν χρυσόβουλλον σ ι γ ί λ λ ι ο ν τῆς βασιλείας μου ἐπεβραβεύθη αὐτοῖς εἰς ἀσφάλειαν αἰωνίζουσαν †. † Μ η ν ὶ ὀ κ τ ω β ρ ί ῳ ἰ ν δ. ιβ' †.

*Orig. charta bomb. tabull. Taurinensis.*

## VIII. (6707—1199) martio ind. II.

*Alexius III. Angelus Comnenus, capto et punito Gafforio, mittit Nicolaum medicum legatum ad communitatem Ianuae, ut iterum tractetur de privilegiis.*

† Ἀλέξιος ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεύς, θεοστεφὴς ἄναξ, κραταιός, ὑψηλός, ἀεὶ αὔγουστος καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Κομνηνὸς τῷ συνετωτάτῳ ἐξουσιαστῇ Γενούας καὶ τοῖς φρονιμωτάτοις κονσούλοις καὶ σενάτωρσι καὶ τῷ λοιπῷ παντὶ πληρώματι τοῦ κάστρου Γενούας τὴν χάριν αὐτοῦ καὶ τὸ ἀγαθὸν θέλημα. ἀψευδῆ τὰ τῶν παρ' Ἕλλησι σοφῶν ἀποφθέγματα καὶ γνωμολογήματα καὶ ὡς ἐπίπαν ἐπίστοχα. κακοῦ γοῦν ἀνδρὸς ὅλην πόλιν ἀπολαύειν ὁ παρ' αὐτοῖς σοφὸς ποιητὴς Ἡσίοδος ἀπεφήνατο· οὐ καινὸν γοῦν, εἰ καὶ τῷ τοῦ καθ' ὑμᾶς κάστρου τῆς Γενούας πληρώματι διὰ τῶν τινων ἐξ ὑμῶν κακίαν μέγα π[άντως] ἐπετρίβη ζημίωμα, καὶ μεγάλης οὕτω καὶ πᾶσι τοῖς ἔθνεσι φιλητῆς καὶ ἀγαπητῆς εὐμενείας τῆς βασιλείας μου ἐπὶ καιρὸν ἐστερήθητε, καὶ αἱ εἰς τὴν βασιλίδα ταύτην τῶν πόλεων καὶ ἐξ αὐτῆς ἐμπορίαι ἡμῶν καὶ τὰ κέρδη ἐντεῦθεν ἐπεσχέσθησαν καὶ διεκωλύθησαν. πλὴν ἐπεὶ θεοῦ προνοίᾳ ὅ τε τῆς κακῆς ταύτης πράξεως ἀρχηγὸς ἐκποδὼν γέγονε, καὶ ἀξίου τῶν ἔργων αὐτοῦ τέλους τετύχηκε, παρὰ τοῦ θεοσώστου στόλου τῆς βασιλείας μου κατασχεθείς, καὶ οἱ σὺν εἰκείνῳ δὲ ὁμόφυλοι ὑμῶν πάντες δέσμιοι ταῖς κατὰ τὴν Μεγαλόπολιν φυλακαῖς ἀπεδόθησαν, κἂν καὶ ἡ βασιλεία μου τὸ πρὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΤΑ της Κ. τ. Ι. ΙΩΑΝΝΙΝΑ 2006